The purpose of this apparatus is to show all variation within Family 35, for Revelation, as identified by a complete collation of the following twenty-two representative MSS—757, 824, 986, 1072, 1075, 1248, 1328, 1503, 1637, 1746, 1768, 1864, 1865, 2041, 2323, 2352, 2431, 2434, 2554, 2669, 2723 and 2821. The first reading is that of the family and represents the vote of all the collated MSS (listed above) that are not identified as having a variant. It goes without saying that the base text is that of the family archetype, empirically determined. We have Hoskier's collations of many more MSS to help us here.

# ΑΠΟΚΑΛΥΨΙΣ[1]

## [Introduction]

**1**.1 Αποκαλυψις Ιησου Χριστου, ἣν εδωκεν αυτω ὁ Θεος δειξαι τοις δουλοις αυτου—ἃ δει
γενεσθαι εν ταχει. Και εσημανεν, αποστειλας δια του αγγελου[2] αυτου τω δουλω αυτου[3] Ιωαννη,
2 ὃς εμαρτυρησεν τον λογον του Θεου, και την μαρτυριαν Ιησου Χριστου—ὅσα ειδεν, και ἅτινα
εισιν και ἃ χρη γενεσθαι μετα ταυτα. 3 Μακαριος ὁ αναγινωσκων και οἱ ακουοντες τους λογους
της προφητειας, και τηρουντες τα εν αυτη γεγραμμενα· ὁ γαρ καιρος εγγυς.[4]

4 Ιωαννης, ταις ἑπτα εκκλησιαις ταις εν τη Ασια: Χαρις ὑμιν και ειρηνη απο ὁ ων και ὁ
ἦν και ὁ ερχομενος, και απο των ἑπτα Πνευματων ἅ εστιν ενωπιον του θρονου αυτου, 5 και απο
Ιησου Χριστου ὁ μαρτυς ὁ πιστος, ὁ πρωτοτοκος εκ των νεκρων, και ὁ αρχων των βασιλεων της
γης.

Τω αγαπησαντι ἡμας και λουσαντι[5] ἡμας απο των ἁμαρτιων ἡμων εν τω αἱματι αυτου
6—και εποιησεν ἡμας βασιλειαν, ἱερεις τω Θεω και Πατρι αυτου—αυτω ἡ δοξα και το κρατος εις
τους αιωνας των αιωνων. Αμην.

7 Ιδου, ερχεται μετα των νεφελων, και οψεται αυτον πας οφθαλμος, και οἱτινες αυτον
εξεκεντησαν. Και κοψονται επ' αυτον πασαι αἱ φυλαι της γης. Ναι, αμην!

8 "Εγω ειμι το Αλφα και το Ω", λεγει Κυριος ὁ Θεος, "'Ο ων και ὁ ἦν και ὁ ερχομενος,
ὁ Παντοκρατωρ."

## [John is commissioned]

**1**.9 Εγω Ιωαννης, ὁ αδελφος ὑμων[6] και κοινωνος εν τη θλιψει και βασιλεια και ὑπομονη εν
Χριστω Ιησου, εγενομην εν τη νησω τη καλουμενη Πατμω δια τον λογον του Θεου και δια[7] την
μαρτυριαν Ιησου Χριστου. 10 Εγενομην εν πνευματι εν τη Κυριακη ἡμερα και ηκουσα[8] φωνην
οπισω μου, μεγαλην ὡς σαλπιγγος, 11 λεγουσης, "'Ὁ βλεπεις γραψον εις βιβλιον και πεμψον ταις
ἑπτα εκκλησιαις: εις Εφεσον και εις Σμυρναν και εις Περγαμον και εις Θυατειρα και εις Σαρδεις
και εις Φιλαδελφειαν[9] και εις Λαοδικειαν." 12 Και εκει επεστρεψα βλεπειν την φωνην ἡτις
ελαλει μετ' εμου. Και επιστρεψας ειδον ἑπτα λυχνιας χρυσας, 13 και εν μεσω των ἑπτα λυχνιων
ὁμοιον υἱω ανθρωπου, ενδεδυμενον ποδηρη και περιεζωσμενον προς τοις μαζοις ζωνην χρυσην.
14 Ἡ δε κεφαλη αυτου, και αἱ τριχες,λευκαι ὡσει εριον, λευκον ὡς χιων· και οἱ οφθαλμοι αυτου
ὡς φλοξ πυρος· 15 και οἱ ποδες αυτου ὁμοιοι χαλκολιβανω, ὡς εν καμινω πεπυρωμενοι· και ἡ
φωνη αυτου ὡς φωνη ὑδατων πολλων· 16 και εχων εν τη δεξια χειρι[10] αυτου αστερας ἑπτα, και εκ
του στοματος αυτου ῥομφαια διστομος οξεια εκπορευομενη· και ἡ οψις αυτου ὡς ὁ[11] ἡλιος φαινει
εν τη δυναμει αυτου.

17 Και ὁτε ειδον αυτον επεσα[12] προς τους ποδας αυτου ὡς νεκρος. Και επεθηκεν την
δεξιαν αυτου χειρα επ' εμε λεγων: "Μη φοβου. Εγω ειμι ὁ Πρωτος και ὁ Εσχατος, 18 και ὁ
ζων—και εγενομην[13] νεκρος, και ιδου, ζων ειμι εις τους αιωνας των αιωνων! Αμην! Και εχω τας
κλεις του Θανατου και του Ἁδου! 19 Γραψον ουν ἃ ειδες, και ἅ εισιν, και ἃ μελλει γενεσθαι

---

[1] Both the Text and the apparatus are the responsibility of Wilbur N. Pickering, ThM PhD, ©.
[2] αγγελου || ευαγγελιου 1248 (s)
[3] αυτου || αυτω 1075
[4] εγγυς || 1 εστιν 1768
[5] λουσαντι 1865c || λυσαντι 1865
[6] υμων || ημων 2431 [nonsense]
[7] δια || --- 1768,1865 (y)
[8] ηκουσα || ηκουα 1075
[9] φιλαδελφειαν || φιλαδελφιαν 1248 (x)
[10] χειρι || --- 1075
[11] ο 2323c || --- 1768,2323
[12] επεσα || επεσον 1328,2554 (y)
[13] εγενομην || 1 ως 2434,2669

μετα ταυτα. 20 Το μυστηριον[1] των ἑπτα αστερων ὧν ειδες επι της δεξιας μου, και τας ἑπτα
λυχνιας τας χρυσας: οἱ ἑπτα αστερες αγγελοι των ἑπτα εκκλησιων εισιν, και αἱ[2] ἑπτα λυχνιαι ἃς
ειδες ἑπτα εκκλησιαι εισιν.

## [The seven letters]

### *[To Ephesus]*

**2**.1 “Τω αγγελω της εν Εφεσω εκκλησιας γραψον: Ταδε λεγει ὁ κρατων τους ἑπτα αστερας εν τη
δεξια αυτου, ὁ περιπατων εν μεσω των ἑπτα λυχνιων των χρυσων: 2 ‘Οιδα τα εργα σου, και τον
κοπον, και την ὑπομονην σου, και[3] ὁτι ου δυνη βαστασαι κακους. Και επειρασας τους λεγοντας
ἑαυτους αποστολους ειναι και ουκ εισιν, και εὑρες αυτους ψευδεις· 3 και εβαστασας και ὑπομονην
εχεις δια το ονομα μου, και ουκ εκοπιασας.

4 ‘Αλλα εχω κατα σου ὁτι την αγαπην σου την πρωτην αφηκας. 5 Μνημονευε ουν ποθεν
εκπεπτωκας και μετανοησον, και τα πρωτα εργα ποιησον· ει δε μη, ερχομαι σοι[4] ταχυ και κινησω
την λυχνιαν σου εκ του τοπου αυτης—εαν μη μετανοησης. 6 Αλλα τουτο εχεις, ὁτι μισεις τα εργα
των Νικολαιτων, ἃ καγω[5] μισω.’

7 “Ὁ εχων ους ακουσατω τί το Πνευμα λεγει ταις εκκλησιαις. Τω νικωντι δωσω φαγειν
εκ του ξυλου της ζωης, ὅ εστιν εν μεσω του Παραδεισου του Θεου μου.[6]

### *[To Smyrna]*

8 “Και τω αγγελω της εν Σμυρνη εκκλησιας γραψον: Ταδε λεγει ὁ Πρωτος και ὁ Εσχατος,
ὃς εγενετο νεκρος και εζησεν: 9 ‘Οιδα σου τα εργα και την θλιψιν και την πτωχειαν (αλλα
πλουσιος εἶ), και την βλασφημιαν των λεγοντων Ιουδαιους ειναι ἑαυτους και ουκ εισιν, αλλα
συναγωγη του Σατανα. 10 Μηδεν[7] φοβου ἃ μελλεις πασχειν. Ιδου δη,[8] μελλει βαλειν ὁ διαβολος εξ
ὑμων εις φυλακην, ἱνα πειρασθητε, και ἑξετε θλιψιν ἡμερων δεκα. Γινου πιστος αχρι θανατου και
δωσω σοι τον στεφανον της ζωης.’

11 “Ὁ εχων ους ακουσατω τί το Πνευμα λεγει ταις εκκλησιαις. Ὁ νικων ου μη αδικηθη εκ
του θανατου του δευτερου.

### *[To Pergamos]*

12 “Και τω αγγελω της εν Περγαμω εκκλησιας γραψον: Ταδε λεγει ὁ εχων την ῥομφαιαν
την διστομον την οξειαν: 13 ‘Οιδα τα εργα σου, και που κατοικεις, ὁπου ὁ θρονος του Σατανα.
Και κρατεις το ονομα μου και ουκ ηρνησω την πιστιν μου εν ταις ἡμεραις εν αἷς Αντιπας ὁ
μαρτυς μου ὁ πιστος, ὃς απεκτανθη παρ’ ὑμιν, ὁπου ὁ Σατανας κατοικει.

14 ‘Αλλ’ εχω κατα σου ολιγα, ὁτι εχεις εκει κρατουντας την διδαχην Βαλααμ, ὃς εδιδαξεν
τον Βαλακ βαλειν σκανδαλον ενωπιον των υἱων Ισραηλ, φαγειν ειδωλοθυτα και πορνευσαι.
15 Οὑτως εχεις και συ κρατουντας την διδαχην των Νικολαιτων ὁμοιως. 16 Μετανοησον! Ει δε
μη, ερχομαι σοι ταχυ και πολεμησω μετ’ αυτων εν τη ῥομφαια του στοματος μου.’

17 “Ὁ εχων ους ακουσατω τί το Πνευμα λεγει ταις εκκλησιαις. Τω νικωντι δωσω αυτω
φαγειν απο του μαννα του κεκρυμμενου. Και δωσω αυτω ψηφον λευκην, και επι την ψηφον ονομα
καινον γεγραμμενον, ὃ ουδεις οιδεν[9] ει μη ὁ λαμβανων.

### *[To Thyatira]*

18 “Και τω αγγελω της[10] εν θυατειροις εκκλησιας γραψον: Ταδε λεγει ὁ Υἱος του Θεου, ὁ
εχων τους οφθαλμους αυτου ὡς φλογα πυρος, και οἱ ποδες αυτου ὁμοιοι χαλκολιβανω: 19 ‘Οιδα
σου τα εργα—και την αγαπην και την πιστιν και την διακονιαν—και την ὑπομονην σου· και τα
εργα σου τα εσχατα πλειονα των πρωτων.

20 ‘Αλλ’ εχω κατα σου ὁτι αφεις την γυναικα σου Ιεζαβελ, ἣ λεγει ἑαυτην προφητιν και
διδασκει και πλανα τους εμους δουλους πορνευσαι και φαγειν ειδωλοθυτα. 21 Και εδωκα αυτη
χρονον ἱνα μετανοηση, και ου θελει[11] μετανοησαι εκ της πορνειας αυτης. 22 Ιδου, βαλλω αυτην

---

[1] μυστηριον || μυστηριων 1248 (i)
[2] αι || --- 2323 (s)
[3] και || --- 1328 (s)
[4] σοι 2352c || --- 2041,2352 (s)
[5] καγω (1072c) || εγω 1072,2669
[6] του θεου μου 757c || --- 757 (x)
[7] μηδεν || μη 2323 (s)
[8] δη || --- 2323 (x)
[9] οιδεν || ειδεν 1075
[10] της || τοις 1768,2431
[11] θελει || θελη 1248 (s)

εις κλινην, και τους μοιχευοντας μετ'[1] αυτης εις θλιψιν μεγαλην, εαν μη μετανοησωσιν εκ των
εργων αυτης. 23 Και τα τεκνα αυτης αποκτενω εν θανατω· και γνωσονται πασαι αἱ εκκλησιαι ὅτι
εγω ειμι ὁ ερευνων νεφρους και καρδιας, και δωσω ὑμιν ἑκαστω κατα τα εργα ὑμων.

24 "Ὑμιν δε λεγω,[2] τοις λοιποις τοις εν Θυατειροις—ὁσοι ουκ εχουσιν την διδαχην
ταυτην, οἱτινες ουκ εγνωσαν τα βαθεα του Σατανα, ὡς λεγουσιν—ου βαλω εφ' ὑμας αλλο βαρος·
25 πλην ὃ εχετε κρατησατε αχρις οὗ αν ἡξω. 26 Και ὁ νικων και ὁ τηρων αχρι τελους τα εργα
μου, δωσω αυτω εξουσιαν επι των εθνων· 27 και ποιμανει αυτους εν ῥαβδω σιδηρα· ὡς τα σκευη
τα κεραμικα[3] συντριβησεται—28 ὡς καγω ειληφα παρα του Πατρος μου. Και δωσω αυτω τον
αστερα τον πρωινον.'

29 "Ὁ εχων ους ακουσατω τί το Πνευμα λεγει ταις εκκλησιαις.

*[To Sardis]*

**3**.1 "Και τω αγγελω της[4] εν[5] Σαρδεσιν εκκλησιας γραψον: Ταδε λεγει ὁ εχων τα ἑπτα
πνευματα του Θεου και τους ἑπτα αστερας: Ὁιδα σου τα εργα, ὁτι ονομα εχεις ὁτι ζης, και νεκρος
εἶ. 2 Γινου γρηγορων! Και στηρισον[6] τα λοιπα ἃ εμελλες[7] αποβαλειν,[8] ου γαρ εὑρηκα σου τα εργα
πεπληρωμενα ενωπιον του Θεου μου. 3 Μνημονευε ουν πως ειληφας και ηκουσας, και τηρει και
μετανοησον· εαν ουν μη γρηγορησης ἡξω επι σε ὡς κλεπτης, και ου μη γνως ποιαν ὡραν ἡξω επι
σε.

4 'Αλλ' ολιγα εχεις ονοματα[9] εν Σαρδεσιν ἃ ουκ εμολυναν τα ἱματια αυτων· και
περιπατησουσιν μετ' εμου εν λευκοις, [a]ὁτι αξιοι εισιν. 5 Ὁ νικων οὑτως περιβαλειται εν ἱματιοις
λευκοις, [b]και ου μη εξαλειψω το ονομα αυτου εκ της[10] Βιβλου της Ζωης,[11] [c]και ὁμολογησω το
ονομα αυτου ενωπιον του Πατρος μου και ενωπιον των αγγελων αυτου.'

6 "Ὁ εχων ους ακουσατω[12] τί το Πνευμα λεγει ταις εκκλησιαις.

*[To Philadelphia]*

7 "Και τω αγγελω της εν Φιλαδελφεια[13] εκκλησιας γραψον: Ταδε λεγει ὁ Ἁγιος, ὁ
Αληθινος, ὁ εχων την κλειν του Δαυιδ, ὁ ανοιγων[14] και ουδεις κλεισει αυτην, ει μη ὁ ανοιγων,[15]
και ουδεις ανοιξει: 8 Ὁιδα σου τα εργα. Ιδου, δεδωκα ενωπιον σου θυραν ανεῳγμενην, ἣν ουδεις
δυναται κλεισαι αυτην· ὁτι μικραν[16] εχεις δυναμιν και ετηρησας μου τον λογον και ουκ ηρνησω
το ονομα μου. 9 Ιδου, διδωμι[17] εκ της συναγωγης του Σατανα, των λεγοντων ἑαυτους Ιουδαιους
ειναι και ουκ εισιν, αλλα ψευδονται—ιδου, ποιησω αυτους ἱνα ἡξουσιν[18] και προσκυνησωσιν
ενωπιον των ποδων σου και γνωσιν ὁτι ηγαπησα σε. 10 Ὁτι ετηρησας τον λογον της ὑπομονης
μου, καγω σε τηρησω εκ της ὡρας του πειρασμου της μελλουσης ερχεσθαι επι της οικουμενης
ὁλης, πειρασαι τους κατοικουντας επι της[19] γης.

11 Ἐρχομαι ταχυ. Κρατει ὃ εχεις, ἱνα μηδεις λαβη τον στεφανον σου. 12 Ὁ νικων,
ποιησω αυτον στυλον εν τω ναω του Θεου μου, και εξω ου μη εξελθη ετι. Και γραψω επ' αυτον
το ονομα του Θεου μου, και το ονομα της πολεως του Θεου μου—της καινης Ἱερουσαλημ, ἣ
καταβαινει εκ του ουρανου απο[20] του Θεου μου—και το ονομα μου το καινον.'

13 "Ὁ εχων ους ακουσατω τί το Πνευμα λεγει ταις εκκλησιαις.

---

[1] μοιχευοντας μετ || ερατας 1768[v] (??)
[2] 1248 omits κατα τα εργα υμων υμιν δε λεγω (h)
[3] κεραμικα || κεραμεικα 1503,1746,1768,1865,2431 (y) (sp)
[4] της || τοις 2431 (i)
[5] εν || --- 2323 (s)
[6] στηρισον 1865[alt] || στηριξον 1768,1865 (y)
[7] εμελλες || ημελλες 1768
[8] αποβαλειν || αποβαλλειν 1768
[9] εχεις ονοματα || ~ 21 2434,2669 (x)
[10] της || του 2323 (s)
[11] a,b,c || ~ b,a,c 2434,2669
[12] ακουσατω || ακουσατο 2431
[13] φιλαδελφεια || φυλαδελφεια 757 (i)
[14] ο ανοιγων || --- 1075
[15] ανοιγων || 1 και κλειων 1768,1865[c] (M[g])
[16] μικραν || μακραν 1248 (i)
[17] διδωμι 1248[c] || διδω μοι 1248
[18] ηξουσιν 757,824,986,1072,1075,1248,1328,1503,1637,1864,2352,2431,2434,2554,2669,2821
ηξωσιν 1746,1768,1865,2041,2323,2723 (y)
[19] της || 11 2041 (i)
[20] απο || --- 2323 (s)

*[To Laodicea]*

14 "Και τω αγγελω της εν Λαοδικεια εκκλησιας γραψον: Ταδε λεγει ὁ Αμην, ὁ μαρτυς ὁ
πιστος και[1] αληθινος, ἡ Αρχη της κτισεως του Θεου: 15 Ὁιδα σου τα εργα, ὁτι ουτε ψυχρος εἶ
ουτε ζεστος. Οφελον ψυχρος ἦς ἢ ζεστος. 16 Οὑτως, ὁτι χλιαρος εἶ, και ου ζεστος ουτε ψυχρος,[2]
μελλω σε εμεσαι εκ του στοματος μου. 17 Ὁτι λεγεις, "Πλουσιος ειμι, και πεπλουτηκα,[3] και
ουδενος χρειαν εχω", και ουκ οιδας ὁτι συ εἶ ὁ ταλαιπωρος—και, ὁ[4] ελεεινος και πτωχος και
τυφλος και γυμνος—18 συμβουλευω σοι αγορασαι χρυσιον παρ' εμου, πεπυρωμενον εκ πυρος, ἱνα
πλουτησης· και ἱματια λευκα, ἱνα περιβαλη,[5] και μη φανερωθη ἡ αισχυνη της γυμνοτητος σου· και
κολλουριον εγχρισον επι τους οφθαλμους σου, ἱνα βλεπης. 19 Εγω ὁσους εαν φιλω ελεγχω και
παιδευω·[6] ζηλωσον ουν και μετανοησον!

20 Ἰδου, ἑστηκα επι την θυραν και κρουω. Εαν τις ακουση της φωνης μου και ανοιξη την
θυραν, και[7] εισελευσομαι προς αυτον και δειπνησω μετ' αυτου, και αυτος μετ' εμου. 21 Ὁ νικων
δωσω αυτω καθισαι μετ' εμου[8] εν τω θρονω μου, ὡς καγω ενικησα και εκαθισα μετα του Πατρος
μου εν τω θρονω αυτου.'

22 "Ὁ εχων ους ακουσατω[9] τί το Πνευμα λεγει ταις εκκλησιαις."

## ["The things that must happen after these"]

**4**.1 Μετα ταυτα ειδον και ιδου—θυρα ανεωγμενη εν τω ουρανω, και ἡ φωνη ἡ πρωτη ἣν ηκουσα
ὡς σαλπιγγος λαλουσης μετ' εμου, λεγουσα, "Αναβα ὡδε και δειξω σοι ἃ δει γενεσθαι μετα
ταυτα."

*[The Throne Room]*

2 Και ευθεως εγενομην εν πνευματι και ιδου, θρονος εκειτο εν τω ουρανω (και επι του
θρονου καθημενος) 3 ὁμοιος ὁρασει λιθω, ιασπιδι και σαρδιω, και ιρις κυκλοθεν του θρονου,[10]
ὁμοια ὁρασει σμαραγδινω. 4 Και κυκλοθεν του θρονου θρονοι εικοσι τεσσαρες,[11] και επι τους
θρονους ειδον τους εικοσι τεσσαρας πρεσβυτερους καθημενους, περιβεβλημενους εν ἱματιοις
λευκοις, και επι τας κεφαλας αυτων στεφανους χρυσους. 5 Και εκ του θρονου εκπορευονται
αστραπαι και φωναι και βρονται· και ἑπτα λαμπαδες πυρος καιομεναι ενωπιον του θρονου αυτου,
αἵ εισιν ἑπτα πνευματα του Θεου· 6 και ενωπιον του θρονου ὡς θαλασσα ὑαλινη,[12] ὁμοια
κρυσταλω.[13]

[The four living beings]

Και εν μεσω του θρονου και κυκλω του θρονου τεσσαρα ζωα γεμοντα οφθαλμων,
εμπροσθεν και οπισθεν. 7 Και το[14] ζωον το πρωτον ὁμοιον λεοντι, και το δευτερον ζωον ὁμοιον
μοσχω, και το τριτον ζωον εχον το προσωπον ὡς ανθρωπος, και το τεταρτον ζωον ὁμοιον αετω
πετομενω.[15] 8 Και τα τεσσαρα ζωα, ἑν καθ' ἑν αυτων, εχον[16] ανα πτερυγας ἑξ, κυκλοθεν και
εσωθεν γεμουσιν οφθαλμων. Και αναπαυσιν ουκ εχουσιν, ἡμερας και νυκτος, λεγοντα:[17] "Ἁγιος,
ἁγιος, ἁγιος· Ἁγιος, ἁγιος, ἁγιος· Ἁγιος, ἁγιος, ἁγιος· Κυριος ὁ Θεος ὁ Παντοκρατωρ, ὁ ἦν και
ὁ ων και ὁ ερχομενος!"

[The twenty-four elders]

9 Και ὁταν δωσιν τα ζωα δοξαν και τιμην και ευχαριστιαν τω καθημενω επι του θρονου,
τω ζωντι εις τους αιωνας των αιωνων, 10 πεσουνται οἱ εικοσι τεσσαρες πρεσβυτεροι ενωπιον του

---

[1] και || 1 ο 1637 (s)

[2] και ου ζεστος ουτε ψυχρος || --- 2821

[3] πεπλουτηκα || πεπλουτικα 2431

[4] ο || --- 2041 (x)

[5] περιβαλη || περιβαλλη 1768

[6] παιδευω || παροδευω 2431 (!)

[7] και || --- 1768

[8] μετ εμου || --- 2821

[9] ακουσατω || ακουσατο 1248 (i)

[10] θρονου || ουρανου 2723 || 1 του ουρανου 1768

[11] τεσσαρες || τεσσαρεις 1768 (everywhere the word occurs)

[12] υαλινη || υελινη 986,1248,2323,2821 (y) (sp)

[13] κρυσταλω 757,824,986,1072,1328,1503,1637,1746[?],1768,1864[c],2323,2352,2434,2554,2669
κρυσταλλω 1075,1248,1746[c?],1864,1865,2041,2431,2723,2821 (y) (sp)

[14] το || τω 757 (i)

[15] πετομενω 2434[c] || πετωμενω 2434

[16] εχον || εχων 824 (y)

[17] λεγοντα 757,824,986,1075,1503,1637,1746,1768,1864,1865,2041,2323[alt],2352,2431,2434,2554,2669,2723,2821
λεγοντες 757[c],986[alt],1072,1248,1328,1637[alt],1746[alt],2323,2352[alt],2554[alt],2723[alt] (y)

καθημενου επι του θρονου και προσκυνησουσιν τω ζωντι εις τους αιωνας των αιωνων, και βαλουσιν τους στεφανους αυτων ενωπιον του θρονου λεγοντες: 11 "Αξιος εἶ, ὁ Κυριος και ὁ[1] Θεος ἡμων, ὁ Ἁγιος, λαβειν την δοξαν και την τιμην και την δυναμιν, ὁτι συ εκτισας τα παντα, και δια το θελημα σου εισιν και εκτισθησαν!"

*[The Lamb takes the scroll]*

**5**.1 Και ειδον επι την δεξιαν του καθημενου επι του θρονου[2] βιβλιον, γεγραμμενον[3] εσωθεν και εξωθεν, κατεσφραγισμενον σφραγισιν ἑπτα. 2 Και ειδον αγγελον ισχυρον κηρυσσοντα φωνη μεγαλη, "Τίς αξιος ανοιξαι το βιβλιον και λυσαι τας σφραγιδας αυτου?" 3 Και ουδεις εδυνατο εν τω ουρανω ουδε επι της γης ουδε ὑποκατω[4] της γης ανοιξαι το βιβλιον ουδε βλεπειν αυτο. 4 Και εγω εκλαιον πολυ, ὁτι ουδεις αξιος εὑρεθη ανοιξαι και αναγνωναι το βιβλιον, ουτε βλεπειν αυτο.

5 Και εἱς εκ των πρεσβυτερων λεγει μοι: "Μη κλαιε! Ιδου, ενικησεν ὁ λεων ὁ εκ της φυλης Ιουδα, ἡ ῥιζα Δαυιδ, ανοιξαι το βιβλιον και τας ἑπτα σφραγιδας αυτου." 6 Και ειδον εν μεσω του θρονου και των τεσσαρων ζωων, και εν μεσω των πρεσβυτερων, Αρνιον ἑστηκος—ὡς εσφαγμενον,[5] εχον[6] κερατα ἑπτα και οφθαλμους ἑπτα, ἁ εισιν τα ἑπτα πνευματα του Θεου αποστελλομενα εις πασαν την γην. 7 Και ηλθεν και ειληφεν εκ της δεξιας του καθημενου επι του θρονου!

[A new song]

8 Και ὁτε ελαβεν το βιβλιον τα τεσσαρα ζωα και οἱ εικοσι τεσσαρες πρεσβυτεροι επεσον ενωπιον του Αρνιου, εχοντες ἑκαστος κιθαρας, και φιαλας χρυσας γεμουσας θυμιαματων, αἳ εισιν αἱ προσευχαι των ἁγιων. 9 Και αδουσιν ωδην καινην[7] λεγοντες: "Αξιος εἶ λαβειν το βιβλιον και ανοιξαι τας σφραγιδας αυτου· ὁτι εσφαγης, και ηγορασας τω Θεω ἡμας εν τω αἱματι σου εκ πασης φυλης και γλωσσης και λαου και εθνους· 10 και εποιησας αυτους τω Θεω ἡμων βασιλεις και ἱερεις, και βασιλευσουσιν[8] επι της γης."

[All the angels]

11 Και ειδον, και ηκουσα ὡς φωνην αγγελων πολλων, κυκλω του θρονου και των ζωων και των πρεσβυτερων. Και ἦν ὁ αριθμος αυτων μυριαδες μυριαδων και χιλιαδες χιλιαδων, 12 λεγοντες φωνη μεγαλη: "Αξιον εστιν το Αρνιον το εσφαγμενον λαβειν την δυναμιν και πλουτον και σοφιαν και ισχυν και τιμην και δοξαν[9] και ευλογιαν!"

[Every creature]

13 Και παν κτισμα ὃ εστιν εν τω ουρανω και επι της γης και ὑποκατω της γης, και επι της θαλασσης (ἅ εστιν και τα εν αυτοις)[10]—παντας ηκουσα λεγοντας: "Τω καθημενω επι του θρονου και τω Αρνιω: ἡ ευλογια και ἡ τιμη και ἡ δοξα και το κρατος εις τους αιωνας των αιωνων! Αμην!" 14 (και τα τεσσαρα ζωα λεγοντα το Αμην).[11] Και οἱ πρεσβυτεροι επεσον και προσεκυνησαν.

*[The Lamb opens the seals]*

[The first seal]

**6**.1 Και ειδον ὁτι ηνοιξεν το Αρνιον μιαν εκ των ἑπτα[12] σφραγιδων,[13] και ηκουσα ἑνος εκ των τεσσαρων ζωων λεγοντος, ὡς φωνη βροντης, "Ἐρχου!" 2 Και ειδον και ιδου, ἱππος λευκος! Και ὁ καθημενος επ' αυτον εχων[14] τοξον. Και εδοθη αυτω στεφανος· και εξηλθεν νικων, και ἱνα νικηση.

[The second seal]

---

[1] ο || --- 1248,2669
[2] επι του θρονου || --- 1328 (h)
[3] γεγραμμενον || γεγραμενον 2041 (i)
[4] υποκατω 757c || αποκατω 757
[5] εσφαγμενον 2434c || εσφραγισμενον 2434
[6] εχον || εχων 2431
[7] ωδην καινην || ~ 21 1075
[8] βασιλευσουσιν || βασιλευουσιν 1248 (x)
[9] τιμην και δοξαν 986c || ~ 321 986
[10] αυτοις || 1 και 2323 (y)
[11] 1328 omits και τα τεσσαρα ζωα λεγοντα το αμην (h)
[12] επτα || --- 1746 (s)
[13] σφραγιδων || 11 1746 (from one line to the next)
[14] εχων || εχον 1248 (i)

3 Και ὁτε ηνοιξεν την δευτεραν σφραγιδα ηκουσα του δευτερου ζωου λεγοντος, "Ερχου!"
4 Και εξηλθεν αλλος ἱππος, πυρρος,[1] και τω καθημενω επ' αυτον εδοθη αυτω λαβειν την ειρηνην
εκ της γης, ἱνα αλληλους σφαξωσιν· και εδοθη αυτω μαχαιρα μεγαλη.

[The <u>third</u> seal]

5 Και ὁτε ηνοιξεν την σφραγιδα την τριτην, ηκουσα του τριτου ζωου λεγοντος, "Ερχου!"
Και ειδον και ιδου, ἱππος μελας! Και ὁ καθημενος επ' αυτον[2] εχων ζυγον εν τη χειρι αυτου.
6 Και ηκουσα φωνην εν μεσω των τεσσαρων ζωων λεγουσαν: "Χοινιξ σιτου δηναριου, και τρεις
χοινικες κριθης δηναριου· και το[3] ελαιον και τον οινον μη αδικησης."

[The <u>fourth</u> seal]

7 Και ὁτε ηνοιξεν την σφραγιδα την τεταρτην, ηκουσα φωνην του τεταρτου ζωου
λεγοντος, "Ερχου!" 8 Και ειδον και ιδου, ἱππος χλωρος! Και ὁ καθημενος επανω αυτου, ονομα
αυτω Θανατος, και ὁ ᾍδης ακολουθει μετ' αυτου. Και εδοθη αυτω εξουσια επι το τεταρτον της
γης, αποκτειναι εν ῥομφαια και εν λιμω και εν θανατω, και ὑπο των θηριων της γης.

[The <u>fifth</u> seal]

9 Και ὁτε ηνοιξεν την πεμπτην σφραγιδα, ειδον ὑποκατω[4] του θυσιαστηριου τας ψυχας
των ανθρωπων των εσφαγμενων δια τον λογον του Θεου και δια την μαρτυριαν του Αρνιου ἣν
ειχον. 10 Και εκραξαν φωνη μεγαλη, λεγοντες: "Ἑως ποτε, ὁ Δεσποτης, ὁ ἁγιος και αληθινος, ου
κρινεις και εκδικεις το αἱμα ἡμων εκ των κατοικουντων επι της γης?" 11 Και εδοθη αυτοις
ἑκαστω στολη λευκη, και ερρεθη αυτοις ἱνα αναπαυσωνται ετι χρονον, ἑως οὗ πληρωσωσιν και οἱ
συνδουλοι αυτων και οἱ αδελφοι αυτων, οἱ μελλοντες αποκτενεσθαι ὡς και αυτοι.

[The <u>sixth</u> seal]

12 Και ειδον, και ὁτε ηνοιξεν την σφραγιδα την ἑκτην, και σεισμος μεγας εγενετο· και ὁ
ἡλιος μελας εγενετο ὡς σακκος τριχινος, και ἡ[5] σεληνη εγενετο ὡς αἱμα. 13 Και οἱ αστερες του
ουρανου επεσον εις την γην, ὡς συκη βαλλει[6] τους ολυνθους αυτης ὑπο μεγαλου ανεμου[7] σειομενη.
14 Και ὁ ουρανος απεχωρισθη,[8] ὡς βιβλιον ἑλισσομενον, και παν ορος και νησος εκ των τοπων
αυτων εκινηθησαν.

15 Και οἱ βασιλεις της γης και οἱ μεγιστανες και οἱ χιλιαρχοι και οἱ πλουσιοι και οἱ
ισχυροι, και πας δουλος και πας ελευθερος, εκρυψαν ἑαυτους εις τα σπηλαια και εις τας πετρας
των ορεων. 16 Και λεγουσιν τοις ορεσιν και ταις πετραις: "Πεσετε[9] εφ' ἡμας και κρυψατε ἡμας
απο προσωπου του καθημενου επι του θρονου και απο της οργης του Αρνιου! 17 Ὁτι ηλθεν ἡ
ἡμερα ἡ μεγαλη της οργης αυτου, και τίς δυναται σταθηναι?"

*[Parenthesis]*

[The sealed of Israel]

7.1 Και μετα τουτο ειδον τεσσαρας αγγελους ἑστωτας επι τας τεσσαρας γωνιας της γης,
κρατουντας τους τεσσαρας ανεμους της γης,[10] ἱνα μη πνεη ανεμος επι της γης, μητε επι της
θαλασσης, μητε επι παν δενδρον. 2 Και ειδον αλλον[11] αγγελον αναβαινοντα απο ανατολης ἡλιου,
εχοντα[12] σφραγιδα Θεου ζωντος. Και εκραξεν φωνη μεγαλη τοις τεσσαρσιν αγγελοις, οἷς εδοθη
αυτοις αδικησαι την γην και την θαλασσαν, 3 λεγων: "Μη αδικησητε[13] την γην, μητε την
θαλασσαν, μητε τα δενδρα, αχρις οὗ σφραγισωμεν τους δουλους του Θεου ἡμων επι των μετωπων[14]
αυτων." 4 Και ηκουσα τον αριθμον των εσφραγισμενων, ἑκατον και τεσσαρακοντα τεσσαρες
χιλιαδες, εσφραγισμενοι εκ πασης φυλης υἱων Ισραηλ: 5 εκ φυλης Ιουδα δωδεκα χιλιαδες
εσφραγισμενοι, εκ φυλης Ῥουβιμ[15] δωδεκα χιλιαδες, εκ φυλης Γαδ δωδεκα χιλιαδες, 6 εκ φυλης
Ασηρ δωδεκα χιλιαδες, εκ φυλης Νεφθαλειμ δωδεκα χιλιαδες, εκ φυλης Μανασση δωδεκα χιλιαδες,

---

[1] πυρρος || πυρος 1075,1328,2323,2821 (y)
[2] αυτον || αυτων 1746 (i)
[3] το 824c || τον 824 (h)
[4] υποκατω 1072c || υποκατου 1072
[5] η || οι 2431 (!)
[6] βαλλει || αποβαλλει 1768
[7] μεγαλου ανεμου || ~ 21 1075,2821
[8] απεχωρισθη || απεχωρισθε 1248 (i)
[9] πεσετε 1248alt || πεσεται 1248
[10] 2821 omits κρατουντας τους τεσσαρας ανεμους της γης (clear homoioteleuton)
[11] αλλον || --- 986
[12] εχοντα || 11 1248 (i)
[13] αδικησητε || αδικησηται 2431
[14] μετωπων || μετωπον 757 (i) || μετοπων 1746,2352,2431,2669 (/)
[15] ρουβιμ || ρουβειμ 1072,1075,1248,1503,1637,1746,2041,2431,2821 (y) (sp)

7 εκ φυλης Συμεων δωδεκα χιλιαδες, εκ φυλης Λευι δωδεκα χιλιαδες, εκ φυλης Ισαχαρ δωδεκα
χιλιαδες, 8 εκ φυλης Ζαβουλων δωδεκα χιλιαδες, εκ φυλης Ιωσηφ δωδεκα χιλιαδες,[1] εκ φυλης
Βενιαμιν δωδεκα χιλιαδες[2] εσφραγισμενοι.

[A multitude from the Great Tribulation]

9 Μετα ταυτα ειδον και ιδου, οχλος πολυς ὃν αριθμησαι ουδεις εδυνατο, εκ παντος εθνους
και φυλων και λαων και γλωσσων, ἑστωτες ενωπιον του Θρονου και ενωπιον του Αρνιου,
περιβεβλημενοι στολας λευκας, και φοινικας[3] εν ταις χερσιν αυτων. 10 Και κραζουσιν φωνη
μεγαλη, λεγοντες, "Ἡ σωτηρια τω Θεω ἡμων τω καθημενω επι τω θρονω,[4] και τω Αρνιω!"

11 Και παντες οἱ αγγελοι εἱστηκεισαν κυκλω του θρονου, και των πρεσβυτερων και των
τεσσαρων ζωων, και επεσον ενωπιον του θρονου επι τα προσωπα αυτων και προσεκυνησαν τω
Θεω, 12 λεγοντες: "Αμην! Ἡ ευλογια και ἡ δοξα και ἡ σοφια και ἡ ευχαριστια και ἡ τιμη και ἡ
δυναμις και ἡ ισχυς τω Θεω ἡμων εις τους αιωνας των αιωνων! Αμην."

13 Και απεκριθη εἱς εκ των πρεσβυτερων, λεγων μοι, "Οὑτοι οἱ περιβεβλημενοι τας
στολας τας λευκας, τίνες εισιν, και ποθεν ηλθον?" 14 Και ειπον αυτω, "Κυριε μου, συ οιδας".
Και ειπεν μοι: "Οὑτοι εισιν οἱ ερχομενοι εκ της θλιψεως της μεγαλης, και επλυναν τας στολας
αυτων και ελευκαναν αυτας εν τω αἱματι του Αρνιου. 15 Δια τουτο εισιν ενωπιον του θρονου
του Θεου, και λατρευουσιν αυτω ἡμερας και νυκτος εν τω ναω αυτου. Και ὁ καθημενος επι τω
θρονω σκηνωσει επ' αυτους. 16 Ου πεινασουσιν ετι, ουδε διψησουσιν ετι· ουδ' ου μη πεση επ'
αυτους ὁ ἡλιος, ουδε παν καυμα· 17 ὁτι το Αρνιον το ανα μεσον του θρονου ποιμαινει[5] αυτους
και ὁδηγει[6] αυτους επι ζωης πηγας ὑδατων. Και εξαλειψει ὁ Θεος παν δακρυον εκ των οφθαλμων
αυτων."

*[The seventh seal]*

8.1 Και ὁτε ηνοιξεν την σφραγιδα την ἑβδομην, εγενετο σιγη εν τω ουρανω ὡς ἡμιωριον.
2 Και ειδον τους ἑπτα αγγελους οἳ ενωπιον του Θεου ἑστηκασιν, και εδοθησαν[7] αυτοις ἑπτα
σαλπιγγες.

3 Και αλλος αγγελος ηλθεν και εσταθη επι του θυσιαστηριου, εχων λιβανωτον χρυσουν.
Και εδοθη αυτω θυμιαματα πολλα ἱνα δωσει[8] ταις προσευχαις[9] των ἁγιων παντων επι το
θυσιαστηριον το χρυσουν το ενωπιον του θρονου. 4 Και ανεβη ὁ καπνος των θυμιαματων ταις
προσευχαις των ἁγιων εκ χειρος του αγγελου ενωπιον του Θεου. 5 Και ειληφεν ὁ αγγελος τον
λιβανωτον και εγεμισεν αυτον[10] εκ του πυρος[11] του θυσιαστηριου και εβαλεν εις την γην. Και
εγενοντο φωναι και βρονται και αστραπαι και σεισμος.[12] 6 Και οἱ ἑπτα αγγελοι οἱ εχοντες τας
ἑπτα σαλπιγγας ἡτοιμασαν ἑαυτους ἱνα σαλπισωσιν.

[The <u>first</u> trumpet]

7 Και ὁ πρωτος εσαλπισεν, και εγενετο χαλαζα και πυρ μεμιγμενα[13] εν αἱματι, και
εβληθη εις την γην, και το τριτον της γης κατεκαη· και, το τριτον των δενδρων[14] κατεκαη[15] και
πας χορτος[16] χλωρος κατεκαη.

[The <u>second</u> trumpet]

8 Και ὁ δευτερος αγγελος εσαλπισεν, και ὡς ορος μεγα καιομενον εβληθη εις την
θαλασσαν, και εγενετο το τριτον της θαλασσης αἱμα. 9 Και απεθανεν το τριτον των κτισματων εν
τη θαλασση, τα εχοντα ψυχας. Και το τριτον των πλοιων διεφθαρησαν.

[The <u>third</u> trumpet]

---

[1] δωδεκα χιλιαδες || ~ 21 1637 (i)
[2] *Ibid.*
[3] φοινικας || φοινικες 1865[alt]
[4] τω θρονω || του θρονου 1248,1328,2554 (/)
[5] ποιμαινει 757[alt],824[alt],986[alt],1072,1075[alt],1328[alt],1503[alt],1637[alt],1768,1864[alt],1865,2041[alt],2323,2352[alt],2431[alt],2434,2554[alt],2669,2723
ποιμανει 757,824,986,1075,1248,1328,1503,1637,1746,1864,2041,2352,2431,2554,2821 (y)
[6] οδηγει 757[c],824[alt],986[alt],1072,1503[alt],1637[alt],1768,1864[alt],1865,2041[alt],2323,2352[alt],2431[alt],2434,2554[alt],2669,2723
οδηγησει 757[*,2],824,986,1075,1248,1328,1503,1637,1746,1864,2041,2352,2431,2554,2821 (y)
[7] εδωθησαν || εδοθη 2041 (s)
[8] δωσει || δωση 1072,2669,2821 (y)
[9] ταις προσευχαις || τας προσευχας 1328 (i) (he got it right in the next verse)
[10] αυτον || --- 2431
[11] πυρος || πυρρος 757 (i)
[12] σεισμος || σεισμοι 2431
[13] μεμιγμενα || μεμιγμενον 1768,1865
[14] το τριτον των δενδρων || ~ 3412 2431
[15] 2821 omits και το τριτον των δενδρων κατεκαη (clear homoioteleuton)
[16] χορτος || 11 1248 (i)

10 Και ὁ τριτος αγγελος εσαλπισεν, και επεσεν εκ του ουρανου αστηρ μεγας, καιομενος ὡς
λαμπας, και επεσεν επι το τριτον των ποταμων και επι τας πηγας των ὑδατων. 11 Και το ονομα
του αστερος λεγεται ὁ Αψινθος. Και εγενετο το τριτον των ὑδατων εις αψινθον, και πολλοι των
ανθρωπων απεθανον εκ των ὑδατων ὁτι επικρανθησαν.

[The fourth trumpet]

12 Και ὁ τεταρτος αγγελος εσαλπισεν, και επληγη το τριτον του ἡλιου και το τριτον της
σεληνης και το τριτον των αστερων, ἱνα σκοτισθη το τριτον αυτων· και ἡ ἡμερα μη φαινη το
τριτον αυτης, και ἡ νυξ ὁμοιως.
13 Και ειδον και ηκουσα ἑνος αετου, πετομενου εν μεσουρανηματι, λεγοντος φωνη μεγαλη
τρις: "Ουαι, ουαι, ουαι τοις κατοικουσιν επι της γης, εκ των λοιπων φωνων της σαλπιγγος των
τριων αγγελων των μελλοντων σαλπιζειν!"

[The **fifth** trumpet]

9.1 Και ὁ πεμπτος αγγελος εσαλπισεν, και ειδον αστερα εκ του ουρανου πεπτωκοτα εις την
γην. Και εδοθη αυτω ἡ κλεις του φρεατος της Αβυσσου. 2 Και ηνοιξεν το φρεαρ της Αβυσσου,
και ανεβη καπνος εκ του φρεατος ὡς καπνος καμινου καιομενης· και εσκοτισθη ὁ ἡλιος και ὁ αηρ
εκ του καπνου του φρεατος. 3 Και εκ του καπνου εξηλθον ακριδες εις την γην. Και εδοθη αυταις
εξουσια ὡς εχουσιν εξουσιαν οἱ σκορπιοι της γης. 4 Και ερρεθη[1] αυταις ἱνα μη αδικησωσιν τον
χορτον της γης ουδε παν χλωρον ουδε παν δενδρον, ει μη τους ανθρωπους μονους οἱτινες ουκ[2]
εχουσιν την σφραγιδα του Θεου επι των μετωπων αυτων. 5 Και εδοθη αυταις ἱνα μη
αποκτεινωσιν αυτους, αλλ' ἱνα βασανισθωσιν μηνας πεντε. Και ὁ βασανισμος αυτων ὡς
βασανισμος σκορπιου ὁταν πληξη[3] ανθρωπον. 6 Και εν ταις ἡμεραις εκειναις ζητουσιν οἱ
ανθρωποι τον θανατον, και ου μη εὑρησουσιν αυτον· και επιθυμησουσιν αποθανειν, και φευξεται
απ' αυτων ὁ θανατος.
7 Και τα ὁμοιωματα των ακριδων ὁμοια ἱπποις ἡτοιμασμενοις εις πολεμον, και επι τας
κεφαλας αυτων ὡς στεφανοι χρυσοι, και τα προσωπα αυτων ὡς προσωπα ανθρωπων. 8 Και ειχον
τριχας ὡς τριχας γυναικων, και οἱ οδοντες αυτων ὡς λεοντων ησαν. 9 Και ειχον θωρακας ὡς
θωρακας σιδηρους, και ἡ φωνη των πτερυγων αυτων ὡς φωνη ἁρματων ἱππων πολλων τρεχοντων
εις πολεμον. 10 Και, εχουσιν ουρας ὁμοιας σκορπιοις, και κεντρα, και εν ταις ουραις αυτων!
Εξουσιαν εχουσιν του αδικησαι τους ανθρωπους μηνας πεντε, 11 εχουσαι βασιλεα επ' αυτων[4]
αγγελον της Αβυσσου—ονομα αυτω Ἑβραιστι Αββαδδων,[5] εν δε τη Ἑλληνικη ονομα εχει
Απολλυων.
12 Ἡ ουαι ἡ μια απηλθεν. Ιδου, ερχεται[6] ετι δυο ουαι μετα ταυτα.

[The sixth trumpet]

13 Και ὁ ἑκτος αγγελος εσαλπισεν, και ηκουσα φωνην μιαν εκ των τεσσαρων κερατων του
θυσιαστηριου του χρυσου του ενωπιον του Θεου, 14 λεγουσαν τω ἑκτω αγγελω, ὁ εχων την
σαλπιγγα, "Λυσον τους τεσσαρας αγγελους τους δεδεμενους επι[7] τω ποταμω τω μεγαλω Ευφρατη".
15 Και ελυθησαν οἱ τεσσαρες αγγελοι—οἱ ἡτοιμασμενοι εις την ὡραν και την ἡμεραν και μηνα
και ενιαυτον—ἱνα αποκτεινωσιν το τριτον[8] των ανθρωπων. 16 Και ὁ αριθμος των στρατευματων
του ἱππου μυριαδες μυριαδων (ηκουσα τον αριθμον αυτων). 17 Και οὑτως ειδον τους ἱππους εν τη
ὁρασει: και τους καθημενους επ' αυτων, εχοντας θωρακας πυρινους και ὑακινθινους[9] και θειωδεις·
και αἱ κεφαλαι των ἱππων ὡς κεφαλαι λεοντων· και εκ των στοματων αυτων εκπορευεται πυρ και
καπνος και θειον.[10] 18 Απο των τριων πληγων τουτων απεκτανθησαν[11] το τριτον των ανθρωπων
—εκ του πυρος και του καπνου και του θειου[12] του εκπορευομενου εκ των στοματων αυτων. 19 Ἡ

---

[1] ερρεθη || ερρηθη 1746 (i)

[2] ουκ || 11 757 (repeats from one line to the next)

[3] πληξη 757[alt],824[alt],986,1072,1248[alt],1328,1503[alt],1637[alt],1768,1864[alt],1865,2041[alt],2323,2352[alt],2431alt,2434,2554[alt],2669,2723,2821
παιση 757,824,1075,1248,1503,1637,1746,1864,2041,2352,2431,2554 (y)

[4] αυτων 1248[c] || αυτον 1248

[5] αββαδδων 757,824,986,1072,1328,1637,1864,1865,2041,2352,2434,2554,2669,2723
αββαδων 1075,1248,1503,1746,1768,2323,2431,2821 (y)

[6] ερχεται || ερχονται 986,2434[alt],2669 (x)

[7] επι || εν 1768,2723 (/)

[8] τριτον || 1 μερος 1768

[9] υακινθινους 2352[c] || υακινθυνους 2352,2821

[10] θειον || 1 και 2434,2669 (/)

[11] απεκτανθησαν || απεκτανθη 2041 (s)

[12] καπνου και του θειου || ~ 4231 1328 (s)

γαρ εξουσια των ἱππων εν τω στοματι αυτων εστιν—και εν ταις ουραις αυτων, αἱ γαρ ουραι
αυτων ὁμοιαι[1] οφεσιν, εχουσαι κεφαλας, και εν αυταις αδικουσιν.
20 Και οἱ λοιποι των ανθρωπων, οἳ ουκ απεκτανθησαν εν ταις πληγαις ταυταις, ου
μετενοησαν εκ των εργων των χειρων αυτων, ἱνα μη προσκυνησωσιν τα δαιμονια, και τα ειδωλα,
τα χρυσα και τα αργυρα και τα χαλκα και τα λιθινα και τα ξυλινα, ἃ ουτε βλεπειν δυναται ουτε
ακουειν ουτε περιπατειν· 21 και ου μετενοησαν εκ των φονων αυτων ουτε εκ των φαρμακειων
αυτων ουτε εκ της πορνειας αυτων ουτε εκ των κλεμματων αυτων.

*[Parenthesis]*

[John eats a little book]

(10.1 Και ειδον αγγελον ισχυρον καταβαινοντα εκ του ουρανου, περιβεβλημενον νεφελην,
και ἡ ιρις επι της κεφαλης αυτου· και το προσωπον αυτου ὡς ὁ ἡλιος, και οἱ ποδες αυτου ὡς
στυλοι πυρος· 2 και ειχεν εν τη χειρι αυτου βιβλιδαριον ανεωγμενον. Και εθηκεν τον ποδα αυτου
τον δεξιον επι της θαλασσης, τον δε ευωνυμον επι της γης, 3 και εκραξεν φωνη μεγαλη, ὡσπερ
λεων μυκαται. Και ὁτε εκραξεν, ελαλησαν αἱ ἑπτα[2] βρονται τας ἑαυτων φωνας. 4 Και ὁτε
ελαλησαν αἱ ἑπτα βρονται εμελλον γραφειν· και ηκουσα φωνην εκ του ουρανου λεγουσαν,
“Σφραγισον ἃ ελαλησαν αἱ ἑπτα βρονται”, και “Μετα ταυτα γραφεις”.[3] 5 Και ὁ αγγελος ὃν ειδον
ἑστωτα[4] επι της θαλασσης και επι της γης[5] ηρεν την χειρα αυτου την δεξιαν εις τον ουρανον
6 και ωμοσεν[6] εν τω ζωντι εις τους αιωνας των αιωνων, ὃς εκτισεν τον ουρανον και τα εν αυτω,
και την γην και τα εν αυτη, και την θαλασσαν και τα εν αυτη, ὁτι[7] χρονος ουκετι εσται· 7 αλλ’
εν ταις ἡμεραις της φωνης του ἑβδομου αγγελου, ὁταν μελλη σαλπιζειν, τελεσθη το μυστηριον του
Θεου, ὃ ευηγγελισατο τους δουλους αυτου τους προφητας.
8 Και ἡ φωνη ἣν ηκουσα εκ του ουρανου παλιν λαλουσα μετ’ εμου και λεγουσα:
“‘Ὑπαγε, λαβε το βιβλιδαριον το ανεωγμενον εν τη χειρι του αγγελου του ἑστωτος επι της
θαλασσης και επι της γης.” 9 Και απηλθον προς τον αγγελον λεγων αυτω, “Δος μοι το[8]
βιβλιδαριον”. Και λεγει μοι: “Λαβε και καταφαγε αυτο· και πικρανει σου την κοιλιαν, αλλ’ εν
τω στοματι σου εσται γλυκυ ὡς μελι.” 10 Και ελαβον το βιβλιδαριον εκ της χειρος του αγγελου
και κατεφαγον αυτο, και ἦν εν τω στοματι μου ὡς μελι γλυκυ. Και ὁτε εφαγον αυτο επικρανθη ἡ
κοιλια μου. 11 Και λεγει μοι, “Δει σε παλιν προφητευσαι επι λαοις, και επι εθνεσιν και
γλωσσαις και βασιλευσιν πολλοις.”

[The two witnesses]

11.1 Και εδοθη μοι καλαμος ὁμοιος ῥαβδω. Και εἱστηκει ὁ αγγελος λεγων: “Εγειραι[9] και
μετρησον τον ναον του Θεου και το θυσιαστηριον, και τους προσκυνουντας εν αυτω. 2 Και την
αυλην την εξωθεν του ναου εκβαλε εξωθεν, και μη αυτην μετρησης,[10] ὁτι εδοθη τοις εθνεσιν· και
την πολιν την ἁγιαν πατησουσιν μηνας τεσσαρακοντα δυο. 3 Και δωσω[11] τοις δυσιν μαρτυσιν
μου, και προφητευσουσιν ἡμερας χιλιας διακοσιας ἑξηκοντα,[12] περιβεβλημενοι σακκους.”
4 Οὑτοι εισιν αἱ δυο ελαιαι,[13] και αἱ δυο λυχνιαι αἱ ενωπιον του Κυριου[14] της γης
ἑστωσαι. 5 Και ει τις αυτους θελει[15] αδικησαι,[16] πυρ εκπορευεται εκ του στοματος αυτων και
κατεσθιει τους εχθρους αυτων. Και ει τις θελει αυτους αδικησαι, οὑτως δει αυτον αποκτανθηναι.
6 Οὑτοι εχουσιν εξουσιαν κλεισαι τον ουρανον ἱνα μη ὑετος βρεχη τας ἡμερας της προφητειας
αυτων· και εξουσιαν εχουσιν επι των ὑδατων στρεφειν αυτα εις αἱμα, και παταξαι την γην εν[17]
παση πληγη, ὁσακις εαν θελησωσιν.

---

[1] ομοιαι || ομοιοι 1746,2431,2821 (/)
[2] επτα || επται 2041 (i)
[3] μετα ταυτα γραφεις || μη αυτα γραφης 1768
[4] εστωτα || 11 1248 (i)
[5] θαλασσης και επι της γης || ~ 52341 1768
[6] ωμοσεν || ωμωσεν 1248 (i)
[7] οτι || 1 ο 1637,1746 (/)
[8] το || τω 2431
[9] εγειραι || εγειρον 2821
[10] αυτην μετρησης 1503c || ~ 21 1503
[11] δωσω || εδοθη 757 (i) (parablepsis)
[12] εξηκοντα 2723c || 1 και 2723
[13] ελαιαι || αιλαιαι 2431
[14] κυριου || 1 επι 1768
[15] αυτους θελει || ~ 21 2323 (x)
[16] αδικησαι || αποκτηναι 1768
[17] εν || --- 2323 (x)

7 Και ὁταν τελεσωσιν την μαρτυριαν αυτων το Θηριον το αναβαινον εκ της Αβυσσου[1]
ποιησει μετ' αυτων πολεμον, και νικησει αυτους και αποκτενει αυτους 8—και τα πτωματα αυτων[2]
επι της πλατειας της πολεως[3] της μεγαλης (ἡτις καλειται πνευματικως Σοδομα και Αιγυπτος),
ὁπου και ὁ Κυριος αυτων εσταυρωθη.

9 Και βλεπουσιν εκ των λαων και φυλων και γλωσσων και εθνων τα πτωματα αυτων
ἡμερας τρεις[4] ἡμισυ, και τα πτωματα αυτων ουκ αφησουσιν τεθηναι εις μνημα. 10 Και οἱ
κατοικουντες επι της[5] γης χαιρουσιν επ' αυτοις, και ευφρανθησονται και δωρα πεμψουσιν
αλληλοις, ὁτι οὑτοι οἱ δυο προφηται εβασανισαν τους κατοικουντας επι της γης.

11 Και μετα[6] τρεις ἡμερας και ἡμισυ πνευμα ζωης εκ του Θεου εισηλθεν επ' αυτους και
εστησαν επι τους ποδας αυτων, και φοβος μεγας επεπεσεν επι τους θεωρουντας αυτους. 12 Και
ηκουσα φωνης μεγαλης εκ του ουρανου λεγουσης αυτοις, "Αναβητε[7] ὡδε!" Και ανεβησαν εις τον
ουρανον εν τη νεφελη, και εθεωρησαν αυτους οἱ εχθροι αυτων. 13 Και εν εκεινη τη ἡμερα
εγενετο σεισμος μεγας και το δεκατον της πολεως επεσεν, και απεκτανθησαν εν τω σεισμω
ονοματα ανθρωπων χιλιαδες ἑπτα. Και οἱ λοιποι εμφοβοι εγενοντο και εδωκαν δοξαν τω Θεω του
ουρανου.)

14 Ἡ ουαι ἡ δευτερα απηλθεν. Ἡ ουαι ἡ τριτη, ιδου, ερχεται ταχυ!

*[The seventh trumpet]*

15 Και ὁ ἑβδομος αγγελος εσαλπισεν, και εγενοντο[8] φωναι μεγαλαι εν τω ουρανω
λεγουσαι: "Εγενετο ἡ βασιλεια του κοσμου του Κυριου ἡμων και του Χριστου αυτου, και
βασιλευσει εις τους αιωνας των αιωνων!" 16 Και οἱ εικοσι τεσσαρες πρεσβυτεροι, οἱ ενωπιον του
Θεου καθημενοι επι τους θρονους αυτων, επεσον επι τα προσωπα αυτων και προσεκυνησαν τω Θεω
17 λεγοντες: "Ευχαριστουμεν σοι, Κυριε ὁ Θεος ὁ Παντοκρατωρ, ὁ ων και ὁ ἠν και ὁ ερχομενος,
ὁτι ειληφας την δυναμιν σου την μεγαλην και εβασιλευσας. 18 Και τα εθνη ωργισθησαν,[9] και
ηλθεν ἡ οργη σου, και ὁ καιρος των νεκρων κριθηναι και δουναι τον μισθον τοις δουλοις σου
τοις προφηταις, και τοις ἁγιοις και τοις φοβουμενοις το ονομα σου, τοις μικροις και τοις
μεγαλοις, και διαφθειραι τους διαφθειραντας την γην." 19 Και ηνοιγη ὁ ναος του Θεου εν τω
ουρανω, και ωφθη ἡ κιβωτος της διαθηκης του Κυριου εν τω ναω αυτου.[10] Και εγενοντο
αστραπαι και φωναι και βρονται και χαλαζα μεγαλη.

*[Parenthesis—partly historical]*

[The woman, the Child, the dragon]

12.1 Και σημειον μεγα ωφθη εν τω ουρανω: γυνη περιβεβλημενη τον ἡλιον, και ἡ σεληνη
ὑποκατω των ποδων αυτης, και επι της κεφαλης αυτης στεφανος αστερων δωδεκα. 2 Και εν γαστρι
εχουσα εκραζεν ωδινουσα και βασανιζομενη τεκειν.

3 Και ωφθη αλλο[11] σημειον εν τω ουρανω: και ιδου, δρακων μεγας πυρρος, εχων κεφαλας
ἑπτα και κερατα δεκα, και επι τας κεφαλας αυτου ἑπτα διαδηματα. 4 Και ἡ ουρα αυτου συρει το
τριτον των αστερων του ουρανου και εβαλεν αυτους εις την γην.

Και ὁ δρακων ἑστηκεν ενωπιον της γυναικος της μελλουσης τικτειν, ἱνα ὁταν τεκη το
Τεκνον αυτης καταφαγη. 5 Και ετεκεν Υἱον, αρρενα,[12] ὃς μελλει ποιμαινειν παντα τα εθνη εν
ῥαβδω σιδηρα. Και ἡρπαγη το Τεκνον αυτης προς τον Θεον, και προς τον θρονον αυτου. 6 Και ἡ
γυνη εφυγεν εις την ερημον ὁπου εχει εκει τοπον ἡτοιμασμενον απο[13] του[14] Θεου, ἱνα εκει
εκτρεφωσιν αυτην ἡμερας χιλιας διακοσιας ἑξηκοντα.

[Satan excluded from heaven]

---

[1] αβυσσου || αβυσου 2821 (sp)
[2] αυτων || 1 εασει 1768
[3] της πολεως || --- 986 (h)
[4] τρεις || 1 και 1768
[5] της || --- 824 (s)
[6] μετα || 1 τας 1768
[7] αναβητε || αναβησετε 1248 (s)
[8] εγενοντο || αιγενοντο 1248 (i)
[9] ωργισθησαν || οργισθησαν 2431
[10] 2723 omits και ωφθη ἡ κιβωτος της διαθηκης του Κυριου εν τω ναω αυτου—supplied in the margin by the first hand. (h)
[11] αλλο || αλλω 757 (i)
[12] αρρενα || αρενα 2431
[13] απο || υπο 1768
[14] του || --- 2821

7 Και εγενετο πολεμος εν τω ουρανω· ὁ Μιχαηλ και οἱ αγγελοι αυτου του πολεμησαι μετα του δρακοντος·[1] και ὁ δρακων επολεμησεν, και οἱ αγγελοι αυτου, 8 και ουκ ισχυσεν, ουδε τοπος εὑρεθη αυτω ετι εν τω ουρανω. 9 Και εβληθη ὁ δρακων ὁ μεγας, ὁ οφις ὁ αρχαιος, ὁ καλουμενος Διαβολος και Σατανας, ὁ πλανων την οικουμενην ὁλην· εβληθη εις την γην, και οἱ αγγελοι αυτου μετ' αυτου εβληθησαν. 10 Και ηκουσα φωνην μεγαλην εν τω ουρανω λεγουσαν: "Αρτι εγενετο ἡ σωτηρια και ἡ δυναμις, και ἡ βασιλεια του Θεου ἡμων και ἡ εξουσια του Χριστου[2] αυτου, ὁτι[3] κατεβληθη ὁ κατηγορος των αδελφων ἡμων, ὁ κατηγορων αυτων ενωπιον του Θεου ἡμων ἡμερας και νυκτος. 11 Και αυτοι ενικησαν αυτον δια το αἱμα του Αρνιου και δια τον λογον της μαρτυριας αυτων, και ουκ ηγαπησαν την ψυχην αυτων, αχρι θανατου. 12 Δια τουτο ευφραινεσθε, οἱ[4] ουρανοι, και οἱ εν αυτοις σκηνουντες! Ουαι τη γη και τη θαλασση! ὁτι κατεβη ὁ διαβολος προς ὑμας[5] εχων θυμον μεγαν, ειδως ὁτι ολιγον καιρον εχει."

[Satan persecutes the woman]

13 Και ὁτε ειδεν ὁ δρακων ὁτι εβληθη εις την γην, εδιωξεν την γυναικα ἡτις ετεκεν τον αρρενα. 14 Και εδοθησαν τη γυναικι δυο πτερυγες του αετου του μεγαλου, ἱνα πετηται εις την ερημον, εις τον τοπον αυτης, ὁπως τρεφηται εκει καιρον και καιρους και ἡμισυ καιρου, απο προσωπου του οφεως. 15 Και εβαλεν ὁ οφις εκ του στοματος αυτου οπισω της γυναικος ὑδωρ ὡς ποταμον, ἱνα αυτην ποταμοφορητον ποιηση. 16 Και εβοηθησεν ἡ γη τη γυναικι, και ηνοιξεν ἡ γη το στομα αυτης και[6] κατεπιεν τον ποταμον ὃν εβαλεν ὁ δρακων εκ του στοματος αυτου. 17 Και ωργισθη ὁ δρακων επι τη γυναικι και απηλθεν ποιησαι πολεμον μετα των λοιπων του σπερματος αυτης, των τηρουντων τας εντολας του Θεου και εχοντων την μαρτυριαν Ιησου.

*[Various Vignettes]*

[A beast from the sea]

**13**.1 Και εσταθην επι την αμμον της θαλασσης, και ειδον εκ της θαλασσης Θηριον αναβαινον, εχον κερατα δεκα και[7] κεφαλας ἑπτα, και επι των κερατων αυτου δεκα διαδηματα και επι τας κεφαλας αυτου ονοματα βλασφημιας. 2 Και το Θηριον ὃ ειδον ἠν ὁμοιον παρδαλει, και οἱ ποδες αυτου ὡς αρκτου,[8] και το στομα αυτου ὡς στομα λεοντος. Και εδωκεν αυτω ὁ δρακων την δυναμιν αυτου και τον θρονον αυτου και εξουσιαν μεγαλην. 3 Και μιαν εκ των κεφαλων αυτου ὡσει εσφαγμενην εις θανατον, και ἡ πληγη του θανατου αυτου εθεραπευθη. Και εθαυμασεν ὁλη ἡ γη οπισω του Θηριου.

4 Και προσεκυνησαν τω δρακοντι τω δεδωκοτι την εξουσιαν τω Θηριω·[9] και προσεκυνησαν τω Θηριω λεγοντες, "Τίς ὁμοιος τω Θηριω, και τίς δυνατος πολεμησαι μετ' αυτου?" 5 Και εδοθη αυτω στομα λαλουν μεγαλα, και βλασφημιαν· και εδοθη αυτω εξουσια πολεμον ποιησαι μηνας τεσσαρακοντα δυο. 6 Και ηνοιξεν το στομα αυτου εις βλασφημιαν προς τον Θεον, βλασφημησαι[10] το ονομα αυτου και την σκηνην αυτου,[11] τους εν τω[12] ουρανω σκηνουντας. 7 Και εδοθη αυτω ποιησαι πολεμον μετα των ἁγιων και νικησαι αυτους. Και εδοθη αυτω εξουσια επι πασαν φυλην και γλωσσαν και εθνος. 8 Και προσκυνησουσιν αυτω παντες οἱ κατοικουντες επι της γης, ὡν ου γεγραπται το ονομα εν τω Βιβλιω της Ζωης του Αρνιου, του εσφαγμενου απο καταβολης κοσμου.

9 Ει τις εχει ους, ακουσατω. 10 Ει τις εχει αιχμαλωσιαν, ὑπαγει· ει τις εν μαχαιρα αποκτενει, δει αυτον εν μαχαιρα αποκτανθηναι. Ὡδε εστιν ἡ ὑπομονη και ἡ πιστις των[13] ἁγιων.

[A beast from the land]

11 Και ειδον αλλο θηριον αναβαινον εκ της γης, και ειχεν κερατα δυο ὁμοια αρνιω και ελαλει ὡς δρακων. 12 Και την εξουσιαν του πρωτου Θηριου πασαν ποιει ενωπιον αυτου· και εποιει την γην και τους εν αυτη κατοικουντας ἱνα προσκυνησωσιν το Θηριον το πρωτον,[14,15] οὗ

---

[1] δρακοντος || δρακωντος 757 (i)
[2] χριστου || αντιχριστου 1248 (s)
[3] οτι || οτε 1248 (i)
[4] οι || --- 1637,2041 (y)
[5] υμας || ημας 2352 (i)
[6] και || --- 1072 (s)
[7] και || --- 2323 (s)
[8] αρκτου || αρκτος 1328 (s)
[9] 2723 omits και προσεκυνησαν τω δρακοντι τω δεδωκοτι την εξουσιαν τω θηριω—supplied in the margin by the first hand. (h)
[10] βλασφημησαι || βλασμησαι 1072 (i)
[11] αυτου || 1 και 1768,1865[c]
[12] τω || --- 2323 (s)
[13] των || τον 757 (i)
[14] το θηριον το πρωτον || τω θηριω τω πρωτω 2434,2669 (/)
[15] θηριον το πρωτον 757[c] || ~ 321 757

εθεραπευθη ἡ πληγη του θανατου αυτου. 13 Και ποιει σημεια μεγαλα, και πυρ ἱνα εκ του ουρανου
καταβαινη επι την γην ενωπιον των ανθρωπων. 14 Και πλανα τους εμους,[1] τους κατοικουντας επι
της γης, δια τα σημεια ἃ εδοθη αυτω ποιησαι ενωπιον του Θηριου, λεγων τοις κατοικουσιν επι
της γης ποιησαι εικονα τω θηριω, ὃ ειχεν την πληγην της μαχαιρας και εζησεν. 15 Και εδοθη
αυτω πνευμα δουναι τη εικονι του Θηριου, ἱνα και λαληση ἡ εικων του Θηριου, και ποιηση[2] ὁσοι
εαν μη προσκυνησωσιν τη εικονι του Θηριου ἱνα αποκτανθωσιν. 16 Και ποιει παντας—τους
μικρους και τους μεγαλους, και τους πλουσιους και τους πτωχους, και τους[3] ελευθερους και τους
δουλους—ἱνα δωσιν αυτοις χαραγματα επι της χειρος αυτων της δεξιας, ἡ επι των μετωπων[4]
αυτων, 17 και[5] ἱνα μη τις δυνηται αγορασαι ἡ πωλησαι ει μη ὁ εχων το χαραγμα, το ονομα του
Θηριου ἡ τον αριθμον του ονοματος αυτου. 18 Ὡδε ἡ σοφια εστιν: ὁ εχων νουν ψηφισατω τον
αριθμον[6] του Θηριου, αριθμος γαρ ανθρωπου εστιν—και ὁ αριθμος αυτου εστιν χξς΄.

[The Lamb and the 144,000]

**14**.1 Και ειδον και ιδου, Αρνιον ἑστηκος επι το Ορος Σιων, και μετ' αυτου ἑκατον
τεσσαρακοντα τεσσαρες χιλιαδες, εχουσαι το ονομα αυτου, και το ονομα του Πατρος αυτου,
γεγραμμενον επι των μετωπων[7] αυτων. 2 Και ηκουσα φωνην εκ του ουρανου ὡς φωνην ὑδατων
πολλων, και ὡς φωνην βροντης μεγαλης· και ἡ[8] φωνη ἡν ηκουσα ὡς κιθαρωδων κιθαριζοντων εν
ταις κιθαραις αυτων. 3 Και αδουσιν ωδην καινην ενωπιον του θρονου, και ενωπιον των
τεσσαρων ζωων και των πρεσβυτερων· και ουδεις εδυνατο μαθειν την ωδην ει μη αἱ ἑκατον
τεσσαρακοντα τεσσαρες χιλιαδες, οἱ ηγορασμενοι απο της γης. 4 Οὑτοι εισιν οἳ μετα γυναικων[9]
ουκ εμολυνθησαν, παρθενοι γαρ εισιν. Οὑτοι εισιν[10] οἱ ακολουθουντες τω Αρνιω ὁπου αν ὑπαγη.
Οὑτοι ὑπο Ιησου ηγορασθησαν απο των ανθρωπων, απαρχη τω Θεω και τω Αρνιω. 5 Και εν τω
στοματι αυτων ουχ[11] εὑρεθη ψευδος, αμωμοι γαρ εισιν.

[Three angels]

6 Και ειδον αλλον αγγελον πετομενον εν μεσουρανηματι, εχοντα ευαγγελιον αιωνιον
ευαγγελισασθαι τους καθημενους επι της γης—και επι παν εθνος και φυλην και γλωσσαν και
λαον—7 λεγων εν φωνη μεγαλη, "Φοβηθητε τον Θεον και δοτε αυτω δοξαν, ὁτι ηλθεν ἡ ὡρα της
κρισεως αυτου, και προσκυνησατε τω ποιησαντι τον ουρανον και την γην και την θαλασσαν και
πηγας ὑδατων."

8 Και αλλος αγγελος, δευτερος, ηκολουθησεν λεγων: "Επεσεν, επεσεν, Βαβυλων ἡ μεγαλη!
Εκ του οινου του θυμου[12] της πορνειας αυτης[13] πεποτικεν παντα τα εθνη."

9 Και αλλος αγγελος, τριτος, ηκολουθησεν αυτοις, λεγων εν φωνη μεγαλη: "Ει τις
προσκυνει το Θηριον και την εικονα αυτου, και λαμβανει[14] χαραγμα επι του μετωπου αυτου ἡ επι
την χειρα αυτου, 10 και αυτος πιεται εκ του οινου του θυμου του Θεου,[15] του κεκερασμενου
ακρατου εν τω ποτηριω της οργης αυτου. Και βασανισθησεται εν πυρι και θειω ενωπιον των
ἁγιων[16] αγγελων και ενωπιον του Αρνιου." 11 Και ὁ καπνος του βασανισμου αυτων εις αιωνας
αιωνων αναβαινει· και ουκ εχουσιν αναπαυσιν ἡμερας και νυκτος, οἱ προσκυνουντες το Θηριον
και την εικονα αυτου, και ει τις λαμβανει το χαραγμα του ονοματος αυτου.

12 Ὡδε ἡ ὑπομονη των ἁγιων εστιν, ὡδε οἱ τηρουντες τας εντολας του Θεου και την
πιστιν του Ιησου. 13 Και ηκουσα φωνης[17] εκ του ουρανου λεγουσης μοι, "Γραψον: 'Μακαριοι οἱ

---

[1] τους εμους || --- 1768
[2] ποιηση || ποιησει 1248 (x)
[3] τους || --- 824 (s)
[4] μετωπων || μετοπων 2352,2669 (/)
[5] και || --- 2041 (s)
[6] αριθμον || 1 του ονοματος 1768,1865 (/)
[7] μετωπων || μετωπον 757 (i) || μετοπων 2669
[8] 1248 omits φωνην βροντης μεγαλης και η (h)
[9] γυναικων || γυναικος 986,1637,1746 (/)
[10] ουτοι εισιν || --- 1503 (h)
[11] ουχ || ουχχ 2352 (from one line to the next)
[12] του θυμου || --- 2041 (h)
[13] αυτης || 1 ης 1768
[14] λαμβανει || 1 το 1768
[15] θεου || 1 και 1637 (s)
[16] 2323 is missing from here to 16:8
[17] φωνης 1328[c] || φωνην 1328

νεκροι, οἱ[1] εν Κυριω αποθνησκοντες απ’ αρτι’ (λεγει “Ναι” το Πνευμα), ‘ἱνα αναπαυσωνται[2] εκ
των κοπων αυτων, τα δε εργα αυτων ακολουθει μετ’ αυτων’.”

[The earth is harvested]

14 Και[3] ειδον[4] και ιδου, νεφελη λευκη, και επι την νεφελην καθημενος ὁμοιος[5] υἱω
ανθρωπου, εχων επι της κεφαλης αυτου στεφανον χρυσουν, και εν τη χειρι αυτου δρεπανον οξυ.
15 Και αλλος αγγελος εξηλθεν εκ του ναου κραζων εν φωνη μεγαλη τω καθημενω επι της νεφελης,
“Πεμψον το δρεπανον σου και θερισον, ὁτι ηλθεν ἡ ὡρα του θερισαι, ὁτι εξηρανθη ὁ θερισμος
της γης”. 16 Και εβαλεν ὁ καθημενος επι την νεφελην το δρεπανον αυτου επι την γην, και
εθερισθη ἡ γη.

17 Και αλλος αγγελος εξηλθεν εκ του ναου (του εν τω ουρανω), εχων και αυτος δρεπανον
οξυ. 18 Και αλλος αγγελος εξηλθεν εκ του θυσιαστηριου (εχων εξουσιαν επι του πυρος), και
εφωνησεν κραυγη μεγαλη τω εχοντι το δρεπανον το οξυ λεγων, “Πεμψον σου το δρεπανον το οξυ[6]
και τρυγησον τους βοτρυας της αμπελου της γης, ὁτι ηκμασαν αἱ σταφυλαι αυτης”. 19 Και εβαλεν
ὁ αγγελος το δρεπανον αυτου εις την γην και ετρυγησεν την αμπελον της γης, και εβαλεν εις την
ληνον του θυμου του Θεου, τον μεγαν.[7] 20 Και επατηθη ἡ ληνος εξωθεν της πολεως, και εξηλθεν
αἱμα εκ της ληνου αχρι των χαλινων των ἱππων, απο σταδιων χιλιων ἑξακοσιων.

*[Here come the bowls!]*

15.1 Και ειδον αλλο σημειον εν τω ουρανω, μεγα και θαυμαστον: αγγελους ἑπτα εχοντας
πληγας ἑπτα[8] τας[9] εσχατας, ὁτι εν αυταις ετελεσθη ὁ θυμος του Θεου.

[The song of the victors]

2 Και ειδον ὡς θαλασσαν ὑελινην μεμιγμενην πυρι, και τους νικωντας εκ του Θηριου και
εκ της εικονος αυτου και εκ του αριθμου του[10] ονοματος αυτου ἑστωτας επι την θαλασσαν την
ὑελινην, εχοντας κιθαρας του Θεου. 3 Και αδουσιν την ωδην Μωυσεος, του δουλου του Θεου, και
την ωδην του Αρνιου, λεγοντες: “Μεγαλα και θαυμαστα τα εργα σου, Κυριε, ὁ Θεος ὁ
Παντοκρατωρ! Δικαιαι και αληθιναι αἱ ὁδοι σου, ὁ Βασιλευς των εθνων! 4 Τίς ου μη φοβηθη[11]
σε, Κυριε, και δοξαση[12] το ονομα σου? Ὁτι μονος ἁγιος εἶ· ὁτι παντα τα εθνη ἥξουσιν και
προσκυνησουσιν ενωπιον σου, ὁτι τα δικαιωματα σου εφανερωθησαν.”

[The angels are commissioned]

5 Και μετα ταυτα ειδον, και ηνοιγη ὁ ναος της σκηνης του μαρτυριου εν τω ουρανω.
6 Και εξηλθον οἱ ἑπτα αγγελοι, οἱ εχοντες τας ἑπτα[13] πληγας, εκ του ουρανου, οἳ ησαν
ενδεδυμενοι[14] λινον καθαρον λαμπρον[15] και περιεζωσμενοι περι τα στηθη ζωνας χρυσας. 7 Και ἑν
εκ των τεσσαρων ζωων εδωκεν τοις ἑπτα αγγελοις ἑπτα φιαλας χρυσας γεμουσας του θυμου του
Θεου, του ζωντος εις τους αιωνας των αιωνων. 8 Και εγεμισθη ὁ ναος[16] καπνου εκ της δοξης του
Θεου και εκ της δυναμεως αυτου, και ουδεις ηδυνατο[17] εισελθειν εις τον ναον αχρι τελεσθωσιν αἱ
ἑπτα πληγαι των αγγελων. 16.1 Και ηκουσα φωνης μεγαλης εκ του ναου λεγουσης τοις ἑπτα
αγγελοις, “Ὑπαγετε, εκχεατε τας φιαλας του θυμου του Θεου εις την γην.”

[The first bowl]

2 Και απηλθεν ὁ πρωτος και εξεχεεν την φιαλην αυτου επι την γην, και εγενετο ἑλκος
κακον και πονηρον εις τους ανθρωπους τους εχοντας το χαραγμα του Θηριου και τους
προσκυνουντας τη εικονι αυτου.

[The second bowl]

---

[1] οι || --- 1746
[2] αναπαυσωνται || αναπαυσονται 2431
[3] και || --- 986
[4] ειδον || ιδον 1746 (i)
[5] καθημενος ομοιος 757[alt],824[alt],986,1072,1075,1248,1328[alt],1503,1637[alt],1746,1768,1864[alt],1865,2041[alt],2352[alt],2431[alt],2554[alt],2723,2821
καθημενον ομοιον 757,824,1328,1637,1864,2041,2352,2431,2434,2554,2669 (y) (2323 lacking)
[6] 986 omits λεγων πεμψον σου το δρεπανον το οξυ (obvious homoioteleuton)
[7] τον μεγαν || την μεγαλην 1328,2554 (y)
[8] πληγας επτα || ~ 21 757 (s)
[9] τας || --- 2821
[10] του || --- 2431
[11] φοβηθη || φοβηθει 986 (s)
[12] δοξαση || δοξασει 986 (x)
[13] επτα || --- 2041 (s)
[14] ενδεδυμενοι || ενδεδυμεν 2352 (i)
[15] λαμπρον || λεπτον 1328 (s)
[16] ναος || 1 του 2434,2669 (/)
[17] ηδυνατο || εδυνατο 1328,2352 (y) (sp)

3 Και ὁ δευτερος αγγελος εξεχεεν την φιαλην αυτου εις την θαλασσαν, και εγενετο αἱμα,
ὡς νεκρου· και πασα ψυχη ζωσα απεθανεν εν τη θαλασση.

[The third bowl]

4 Και ὁ τριτος αγγελος εξεχεεν την φιαλην αυτου εις τους ποταμους και[1] τας πηγας των
ὑδατων, και εγενετο αἱμα. 5 Και ηκουσα του αγγελου των ὑδατων λεγοντος: "Δικαιος εἶ, ὁ ων
και ὁ ἦν, ὁ Ὁσιος, ὁτι ταυτα εκρινας. 6 Ὁτι αἱμα ἁγιων και προφητων εξεχεαν, και αἱμα αυτοις
εδωκας[2] πιειν. Αξιοι εισιν!" 7 Και ηκουσα του θυσιαστηριου λεγοντος: "Ναι, Κυριε ὁ Θεος, ὁ
Παντοκρατωρ! αληθιναι και δικαιαι αἱ κρισεις σου!"

[The fourth bowl]

8 Και ὁ τεταρτος αγγελος εξεχεεν την φιαλην αυτου επι τον[3] ἡλιον, και εδοθη αυτω
καυματισαι τους ανθρωπους εν πυρι. 9 Και εκαυματισθησαν οἱ ανθρωποι καυμα μεγα, και
εβλασφημησαν οἱ ανθρωποι το ονομα του Θεου του εχοντος την εξουσιαν επι τας πληγας ταυτας.
Και ου μετενοησαν δουναι αυτω δοξαν.

[The fifth bowl]

10 Και ὁ πεμπτος αγγελος εξεχεεν[4] την φιαλην αυτου επι τον θρονον του Θηριου, και
εγενετο ἡ βασιλεια αυτου εσκοτωμενη· και εμασωντο τας γλωσσας αυτων εκ του πονου. 11 Και
εβλασφημησαν τον Θεον του ουρανου εκ των πονων[5] αυτων, και εκ των ἑλκων αυτων· και ου
μετενοησαν εκ των εργων αυτων.

[The sixth bowl]

12 Και ὁ ἑκτος αγγελος εξεχεεν την φιαλην αυτου επι τον ποταμον τον μεγαν[6] Ευφρατην,
και εξηρανθη το ὑδωρ αυτου, ἱνα ἑτοιμασθη ἡ ὁδος των βασιλεων των απο ανατολων ἡλιου.
13 Και ειδον εκ του στοματος του δρακοντος και εκ του στοματος του Θηριου[7] και εκ του
στοματος του Ψευδοπροφητου πνευματα τρια ακαθαρτα, ὡς βατραχοι. 14 Εισιν γαρ πνευματα
δαιμονων ποιουντα σημεια, ἃ εκπορευεται επι τους βασιλεις της οικουμενης ὁλης, συναγαγειν
αυτους εις τον πολεμον της ἡμερας εκεινης της μεγαλης του Θεου του Παντοκρατορος. 15 ("Ιδου,
ερχομαι ὡς κλεπτης. Μακαριος ὁ γρηγορων και τηρων τα ἱματια αυτου, ἱνα μη γυμνος περιπατη
και βλεπωσιν την ασχημοσυνην αυτου.") 16 Και συνηγαγεν αυτους εις τον τοπον τον καλουμενον
Ἑβραιστι Αρμαγεδων.

[The seventh bowl]

17 Και ὁ ἑβδομος αγγελος εξεχεεν την φιαλην αυτου εις τον αερα, και εξηλθεν φωνη
μεγαλη απο του ναου του ουρανου, απο του θρονου, λεγουσα, "Γεγονεν!" 18 Και εγενοντο
ασtραπαι και βρονται και φωναι· και σεισμος εγενετο μεγας, οἱος ουκ εγενετο αφ' οὗ οἱ
ανθρωποι εγενοντο επι της γης, τηλικουτος σεισμος, οὑτως μεγας! 19 Και εγενετο ἡ πολις ἡ
μεγαλη εις τρια μερη, και αἱ πολεις[8] των εθνων επεσον.[9] Και Βαβυλων ἡ μεγαλη εμνησθη
ενωπιον του Θεου, δουναι αυτη το ποτηριον του οινου του θυμου της οργης αυτου. 20 Και πασα
νησος εφυγεν, και ορη ουχ εὑρεθησαν. 21 Και χαλαζα μεγαλη, ὡς ταλαντιαια, καταβαινει εκ του
ουρανου επι τους ανθρωπους. Και εβλασφημησαν[10,11] οἱ ανθρωποι τον Θεον εκ της πληγης της
χαλαζης, ὁτι μεγαλη εστιν ἡ πληγη αυτης σφοδρα.

*[About Babylon]*

**17**.1 Και ηλθεν εἱς εκ των ἑπτα αγγελων των εχοντων τας ἑπτα φιαλας και ελαλησεν μετ'
εμου λεγων, "Δευρο, δειξω σοι το κριμα της πορνης της μεγαλης της καθημενης επι των ὑδατων
των πολλων, 2 μεθ' ἧς επορνευσαν οἱ βασιλεις της γης, και εμεθυσθησαν[12] οἱ κατοικουντες την
γην εκ του οινου της πορνειας αυτης."

[A woman and a beast]

3 Και απηνεγκεν με εις ερημον εν πνευματι. Και ειδον γυναικα καθημενην επι θηριον
κοκκινον γεμον ονοματων βλασφημιας, εχον κεφαλας ἑπτα και κερατα δεκα. 4 Και ἡ γυνη ἦν

---

[1] και || 1 εις 1768
[2] εδωκας || εδοκας 757 (i)
[3] 2323 resumes here
[4] εξεχεεν || εξεχε 2323 (i)
[5] 2434,2669 omit και εβλασφημησαν τον θεον του ουρανου εκ των πονων (h)
[6] μεγαν || 1 τον 1328,2554 (y)
[7] δρακοντος και εκ του στοματος του θηριου || ~ 7234561 1248 (s)
[8] πολεις || πολειν 1637 (i)
[9] επεσον 757[alt],824[alt],986,1072,1075[alt],1248,1328,1503[alt],1637[alt],1746,1768,1864[alt],1865,2041,2323,2352,2431[alt],2434,2554,2669,2723,2821[alt] (sp)
επεσαν 757,824,1075,1503,1637,1864,2041[alt],2431,2821 (y)
[10] 1328 missing from here to 17:14.
[11] εβλασφημησαν || εβλασφημισαν 2431
[12] εμεθυσθησαν || εμεθυσθαν 2431

περιβεβλημενη πορφυραν και[1] κοκκινον, κεχρυσωμενη χρυσω και λιθω τιμιω και μαργαριταις,
εχουσα χρυσουν ποτηριον εν τη χειρι αυτης γεμον βδελυγματων και τα ακαθαρτα της πορνειας
αυτης. 5 Και επι το μετωπον αυτης ονομα γεγραμμενον:

ΜΥΣΤΗΡΙΟΝ, ΒΑΒΥΛΩΝ Ἡ ΜΕΓΑΛΗ, Ἡ ΜΗΤΗΡ ΤΩΝ
ΠΟΡΝΩΝ ΚΑΙ ΤΩΝ ΒΔΕΛΥΓΜΑΤΩΝ ΤΗΣ ΓΗΣ.

6 Και ειδον την γυναικα μεθυουσαν εκ του αἱματος των ἁγιων, και[2] εκ του αἱματος των[3]
μαρτυρων Ιησου. Και εθαυμασα, ιδων αυτην, θαυμα μεγα.[4]

[The vision explained]

7 Και ειπεν μοι ὁ αγγελος: "Δια τί εθαυμασας? Εγω σοι ερω το μυστηριον της γυναικος
και του Θηριου του βασταζοντος αυτην, του εχοντος τας ἑπτα κεφαλας και τα δεκα κερατα. 8 Το
Θηριον ὃ ειδες ἦν, και ουκ εστιν, και μελλει αναβαινειν εκ της Αβυσσου και εις απωλειαν
ὑπαγειν. Και θαυμασονται οἱ κατοικουντες επι της γης, ὧν ου γεγραπται τα ονοματα επι το
Βιβλιον της Ζωης απο καταβολης κοσμου, βλεποντες το Θηριον ὁτι ἦν και ουκ εστιν και
παρεσται. 9 Ὡδε ὁ νους ὁ εχων σοφιαν: Αἱ ἑπτα κεφαλαι ἑπτα ορη εισιν ὁπου ἡ γυνη καθηται[5]
επ' αυτων. 10 Και βασιλεις ἑπτα εισιν· οἱ πεντε επεσον,[6] ὁ[7] εἱς εστιν, ὁ αλλος ουπω ηλθεν. Και
ὁταν ελθη ολιγον αυτον δει μειναι. 11 Και το Θηριον ὃ ἦν και ουκ εστιν, και αυτος ογδοος
εστιν, και εκ των ἑπτα εστιν, και εις απωλειαν ὑπαγει. 12 Και τα δεκα κερατα ἃ ειδες δεκα
βασιλεις εισιν, οἱτινες[8] βασιλειαν ουπω ελαβον, αλλ' εξουσιαν ὡς βασιλεις μιαν ὡραν
λαμβανουσιν μετα του Θηριου. 13 Οὑτοι μιαν γνωμην[9] εχουσιν και την δυναμιν και την εξουσιαν
αυτων τω Θηριω διδοασιν. 14 Οὑτοι μετα του Αρνιου πολεμησουσιν, και το Αρνιον νικησει
αυτους, ὁτι Κυριος κυριων εστιν και Βασιλευς βασιλεων· και οἱ[10] μετ'[11] αυτου κλητοι και
εκλεκτοι και πιστοι."

15 Και λεγει μοι: "Τα ὑδατα ἃ ειδες, οὑ ἡ πορνη καθηται, λαοι και οχλοι εισιν, και εθνη
και γλωσσαι. 16 Και τα δεκα κερατα ἃ ειδες, και το Θηριον, οὑτοι μισησουσιν[12] την πορνην και
ηρημωμενην[13] ποιησουσιν αυτην και γυμνην ποιησουσιν αυτην και τας σαρκας αυτης φαγονται[14]
και αυτην κατακαυσουσιν εν πυρι. 17 Ὁ γαρ Θεος εδωκεν εις τας καρδιας αυτων ποιησαι[15] την
γνωμην[16] αυτου, και ποιησαι[17] γνωμην μιαν και δουναι την βασιλειαν αυτων τω Θηριω, αχρι[18]
τελεσθησονται οἱ λογοι του Θεου. 18 Και ἡ γυνη ἣν ειδες εστιν ἡ πολις ἡ μεγαλη ἡ εχουσα
βασιλειαν επι των βασιλεων της γης."

[Her fall proclaimed]

**18**.1 Και μετα ταυτα ειδον αλλον αγγελον καταβαινοντα εκ του ουρανου, εχοντα εξουσιαν
μεγαλην, και ἡ γη εφωτισθη εκ της δοξης αυτου. 2 Και εκραξεν εν ισχυρα φωνη λεγων: "Επεσεν,
επεσεν, Βαβυλων ἡ μεγαλη! και εγενετο κατοικητηριον δαιμονων, και φυλακη παντος πνευματος
ακαθαρτου, και φυλακη παντος ορνεου ακαθαρτου[19] και μεμισημενου. 3 Ὁτι[20] εκ του θυμου του
οινου της πορνειας αυτης πεπωκεν[21] παντα τα εθνη, και οἱ βασιλεις της γης μετ' αυτης
επορνευσαν, και οἱ εμποροι της γης εκ της δυναμεως του στρηνους αυτης επλουτησαν."

---

[1] και || --- 986 (s)
[2] και || --- 2821
[3] 2323 omits αγιων και εκ του αιματος των (h)
[4] 1248 repeats και εθαυμασα ιδων αυτην θαυμα μεγα (i)
[5] καθηται || καθηνται 986 (i)
[6] επεσον 757[alt],824[alt],986,1072,1075[alt],1248,1503[alt],1637[alt],1746,1768,1864[alt],1865,2041[alt],2323,2352,2431[alt],2434,2554,2669,2723 (sp)
επεσαν 757,824,1075,1503,1637,1864,2041,2431,2821 (y) (1328 lacking)
[7] ο || 1 δε 2041 (s)
[8] οιτινες || ει τινες 2431
[9] γνωμην || γνωμιν 1248 (i)
[10] οι || 11 1248 (i) (from one line to the next)
[11] 1328 resumes at this point.
[12] μισησουσιν || μισησου 2431
[13] ηρημωμενην 757[alt],824[alt],986,1072,1248,1328,1503[alt],1637[alt],1746,1768,1864[alt],1865,2041,2323,2352,2431,2434,2554,2669,2723 (sp)
ερημωμενην 757,824,1075,1503,1637,1864,2041[alt],2821 (y)
[14] φαγονται || φαγωνται 1248,1746,2431 (y)
[15] ποιησαι || --- 757 (s)
[16] γνωμην || γνωμιν 1248 (i)
[17] 1248 omits την γνωμην ουτου και ποιησαι (h)
[18] αχρι || αχρη 757 (s)
[19] 1503 omits και φυλακη παντος ορνεου ακαθαρτου (h)(M[d])
[20] 2723 omits φυλακη παντος ορνεου ακαθαρτου και μεμισημενου οτι—supplied in the margin by the first hand.
[21] πεπωκεν || πεποτικε 1768,1865 (M[d])

4 Και ηκουσα αλλην φωνην εκ του ουρανου λεγουσαν: “Ἐξελθετε[1] εξ αυτης, ὁ λαος μου,
ἱνα μη συγκοινωνησητε ταις ἁμαρτιαις[2] αυτης, και εκ των πληγων αυτης ἱνα μη λαβητε· 5 ὁτι
εκολληθησαν αυτης αἱ ἁμαρτιαι αχρι του ουρανου, και εμνημονευσεν αυτης ὁ Θεος τα αδικηματα
αυτης.[3] 6 Αποδοτε αυτη ὡς και αυτη απεδωκεν ὑμιν, και διπλωσατε[4] αυτη διπλα κατα τα εργα
αυτης· εν τω ποτηριω ᾡ εκερασεν, κερασατε αυτη διπλουν. 7 Ὁσα[5] εδοξασεν ἑαυτην και
εστρηνιασεν, τοσουτον δοτε αυτη βασανισμον·[6] ὁτι εν τη καρδια αυτης λεγει ὁτι ‘Καθημαι
βασιλισσα, και χηρα ουκ ειμι, και πενθος ου μη ιδω’. 8 Δια τουτο εν μια ἡμερα ἡξουσιν αἱ
πληγαι αυτης—θανατος και πενθος και λιμος—και εν πυρι κατακαυθησεται· ὁτι ισχυρος Κυριος ὁ
Θεος ὁ κρινας αυτην.

[Her fall lamented]

9 “Και κλαυσουσιν και κοψονται επ’ αυτην οἱ βασιλεις της γης οἱ μετ’ αυτης
πορνευσαντες και στρηνιασαντες, ὁταν βλεπωσιν τον καπνον της πυρωσεως αυτης, 10 απο
μακροθεν ἑστηκοτες[7] δια τον φοβον του βασανισμου αυτης, λεγοντες: ‘Ουαι, ουαι, ἡ πολις ἡ
μεγαλη[8] Βαβυλων, ἡ πολις ἡ ισχυρα! Ὁτι μια ὡρα ηλθεν ἡ κρισις σου.’
11 “Και οἱ εμποροι της γης κλαιουσιν και πενθουσιν επ’ αυτη, ὁτι τον γομον αυτων
ουδεις αγοραζει ουκετι: 12 γομον χρυσου[9] και αργυρου, και λιθου τιμιου και μαργαριτου, και
βυσσου και πορφυρου και σηρικου και κοκκινου, και παν ξυλον θυινον και παν σκευος
ελεφαντινον και παν σκευος εκ ξυλου τιμιωτατου και χαλκου και σιδηρου και μαρμαρου,[10] 13 και
κιναμωμον[11] και θυμιαματα και μυρον και λιβανον, και οινον και ελαιον και σεμιδαλιν και
σιτον, και κτηνη και προβατα και ἱππων και ῥαιδων, και σωματων και ψυχας ανθρωπων!”
14 (‘Και, ἡ οπωρα της επιθυμιας της ψυχης σου απηλθεν απο σου, και παντα τα λιπαρα και τα
λαμπρα απωλοντο[12] απο σου, και ουκετι ου μη εὑρησεις αυτα!’) 15 “Οἱ εμποροι τουτων οἱ
πλουτησαντες απ’ αυτης, απο μακροθεν στησονται δια τον φοβον του βασανισμου αυτης, κλαιοντες
και πενθουντες 16 και λεγοντες: ‘Ουαι, ουαι,[13] ἡ πολις ἡ μεγαλη, ἡ περιβεβλημενη βυσσινον και
πορφυρουν και κοκκινον, και κεχρυσωμενη εν χρυσω και λιθω τιμιω και μαργαριταις! 17 Ὁτι
μια ὡρα ηρημωθη ὁ τοσουτος πλουτος.’
“Και πας κυβερνητης και πας ὁ επι των πλοιων πλεων—και ναυται και ὁσοι την
θαλασσαν εργαζονται—απο μακροθεν εστησαν 18 και εκραζον, βλεποντες τον καπνον της πυρωσεως
αυτης λεγοντες, ‘Τίς ὁμοια τη πολει τη μεγαλη?!’ 19 Και εβαλον χουν επι τας κεφαλας αυτων και
εκραζον, κλαιοντες και πενθουντες και λεγοντες: ‘Ουαι, ουαι, ἡ πολις ἡ μεγαλη, εν ᾗ επλουτησαν
παντες οἱ εχοντες τα πλοια εν τη θαλασση, εκ της τιμιοτητος αυτης! Ὁτι μια ὡρα ηρημωθη.’

[Her doom is final]

20 “Ευφραινου επ’ αυτη, Ουρανε, και οἱ ἁγιοι και οἱ αποστολοι και οἱ προφηται, ὁτι
εκρινεν ὁ Θεος το κριμα ὑμων εξ αυτης!” 21 Και ηρεν εἱς αγγελος ισχυρος λιθον ὡς μυλον μεγαν
και εβαλεν εις την θαλασσαν λεγων:[14] “‘Ὁρμηματι βληθησεται Βαβυλων ἡ μεγαλη πολις, και ου μη
εὑρεθη ετι. 22 Και φωνη κιθαρωδων και μουσικων και αυλητων και σαλπιστων ου μη ακουσθη εν
σοι ετι.[15] [a]Και πας τεχνιτης πασης τεχνης ου μη εὑρεθη εν σοι ετι. [b]Και φωνη μυλου ου μη
ακουσθη εν σοι ετι. 23 [c]Και φως λυχνου ου μη φανη εν σοι ετι.[16] [d]Και φωνη νυμφιου και νυμφης
ου μη ακουσθη εν σοι ετι. Ὁτι οἱ εμποροι σου ησαν οἱ μεγιστανες της γης, ὁτι εν τη φαρμακεια
σου επλανηθησαν παντα τα εθνη.” 24 Και εν αυτη αἱματα προφητων και ἁγιων εὑρεθη, και
παντων των εσφαγμενων επι της γης.

[Her fall celebrated]

---

[1] εξελθετε || εξελθε 1328 (x)
[2] αμαρτιαις || μαρτιαις 2323 (i)
[3] αυτης || --- 1328 (s)
[4] διπλωαστε || διπλασατε 2323 (s)
[5] οσα 986[alt] || οσον 986
[6] βασανισμον || 1 και πενθος 1768
[7] εστηκοτες || εστωτες 1637 (s)
[8] μεγαλη || 1 η 986,2323 (s)
[9] χρυσου || χρυσουν 986
[10] μαρμαρου || μαργαρου 2821
[11] κιναμωμον || κινναμωμον 2323 (x)
[12] απωλοντο || απηλθον 1503 (M[d])
[13] ουαι || --- 2821
[14] λεγων || 1 ουτως 1768,1865[c] (*rell*)
[15] εν σοι ετι || ~ 312 2352 (s)
[16] a,b,c,d 1072[c],1864[c] || ~ c,b,a,d 1072,1864,2352

19.1 Και μετα ταυτα ηκουσα ὡς φωνην οχλου πολλου, μεγαλην, εν τω ουρανω λεγοντων:
"Αλληλουια! Ἡ σωτηρια και ἡ δυναμις και ἡ δοξα του Θεου ἡμων! 2 Ὁτι αληθιναι[1] και δικαιαι
αἱ κρισεις αυτου, ὁτι εκρινεν την πορνην[2] την μεγαλην ἡτις διεφθειρεν την γην εν τη πορνεια
αυτης· και εξεδικησεν το αἱμα των δουλων αυτου εκ χειρος αυτης." 3 Και δευτερον ειρηκεν:
"Αλληλουια! Και ὁ καπνος αυτης αναβαινει εις τους αιωνας των αιωνων!" 4 Και επεσαν[3] οἱ
πρεσβυτεροι οἱ εικοσι τεσσαρες και τα τεσσαρα ζωα και προσεκυνησαν τω Θεω τω καθημενω επι
του θρονου λεγοντες: "Αμην! Αλληλουια!" 5 Και φωνη εκ του θρονου εξηλθεν, λεγουσα, "Αινειτε
τον Θεον ἡμων, παντες οἱ δουλοι αυτου και οἱ φοβουμενοι αυτον, οἱ μικροι και οἱ μεγαλοι!"

*[The wedding of the Lamb]*

6 Και ηκουσα ὡς φωνην οχλου πολλου και ὡς φωνην[4] ὑδατων πολλων και ὡς φωνην
βροντων ισχυρων λεγοντας:[5] "Αλληλουια! Ὁτι εβασιλευσεν Κυριος ὁ Θεος ἡμων, ὁ Παντοκρατωρ!
7 Χαιρωμεν και αγαλλιωμεθα και δωμεν την δοξαν αυτω, ὁτι ηλθεν ὁ γαμος του Αρνιου, και ἡ
γυνη αυτου ἡτοιμασεν ἑαυτην."[6] 8 Και εδοθη αυτη ἱνα περιβαληται βυσσινον λαμπρον και
καθαρον, το γαρ βυσσινον τα δικαιωματα των ἁγιων εστιν.

9 Και λεγει μοι, "Γραψον: 'Μακαριοι οἱ εις το δειπνον του γαμου του Αρνιου
κεκλημενοι'." Και λεγει μοι, "Οὑτοι οἱ λογοι αληθινοι εισιν του Θεου". 10 Και επεσον[7]
εμπροσθεν των ποδων αυτου προσκυνησαι αυτω. Και λεγει μοι: ""Ορα μη! Συνδουλος σου ειμι και
των αδελφων σου των εχοντων την μαρτυριαν Ιησου. Τω Θεω προσκυνησον! Ἡ γαρ μαρτυρια του
Ιησου εστιν το πνευμα της προφητειας."

*[The battle of Armageddon]*

11 Και ειδον τον ουρανον ανεωγμενον, και ιδου, ἱππος λευκος, και ὁ[8] καθημενος επ'
αυτον, καλουμενος Πιστος και Αληθινος, και εν δικαιοσυνη κρινει και πολεμει. 12 Οἱ δε
οφθαλμοι αυτου φλοξ πυρος, και επι την κεφαλην αυτου διαδηματα πολλα, εχων ονοματα
γεγραμμενα, και ονομα γεγραμμενον ὃ ουδεις οιδεν[9] ει μη αυτος· 13 και περιβεβλημενος[10] ἱματιον
βεβαμμενον αἱματι, και καλειται το ονομα αυτου, 'Ὁ Λογος του Θεου'. 14 Και τα στρατευματα τα
εν τω ουρανω ηκολουθει αυτω επι ἱπποις λευκοις, ενδεδυμενοι βυσσινον[11] λευκον καθαρον. 15 Και
εκ του στοματος αυτου εκπορευεται ῥομφαια διστομος οξεια, ἱνα εν αυτη παταξη τα εθνη. Και
αυτος ποιμανει αυτους εν ῥαβδω σιδηρα. Και αυτος πατει την ληνον του οινου του θυμου της
οργης του Θεου, του Παντοκρατορος. 16 Και εχει επι το ἱματιον και επι τον μηρον[12] αυτου ονομα
γεγραμμενον: ΒΑΣΙΛΕΥΣ ΒΑΣΙΛΕΩΝ ΚΑΙ ΚΥΡΙΟΣ ΚΥΡΙΩΝ.

[A feast for vultures]

17 Και ειδον ἑνα αγγελον ἑστωτα εν τω ἡλιω· και εκραξεν φωνη μεγαλη, λεγων πασιν
τοις ορνεοις τοις πετομενοις εν μεσουρανηματι,[13] "Δευτε, συναχθητε εις το δειπνον το μεγα του
Θεου, 18 ἱνα φαγητε σαρκας βασιλεων και σαρκας χιλιαρχων και σαρκας ισχυρων και σαρκας
ἱππων και των καθημενων επ' αυτων, και σαρκας παντων, ελευθερων τε και δουλων και[14] μικρων
τε και μεγαλων."

19 Και ειδον το Θηριον και τους βασιλεις της γης και τα στρατευματα αυτων συνηγμενα
ποιησαι πολεμον μετα του καθημενου επι του ἱππου και μετα του στρατευματος αυτου. 20 Και
επιασθη το Θηριον, και μετ' αυτου ὁ Ψευδοπροφητης, ὁ ποιησας τα σημεια ενωπιον αυτου (εν οἷς
επλανησεν τους λαβοντας το χαραγμα του Θηριου και τους προσκυνουντας[15] τη εικονι αυτου).
Ζωντες εβληθησαν οἱ δυο εις την λιμνην του πυρος την καιομενην εν θειω. 21 Και οἱ λοιποι

---

[1] αληθιναι || αληθηναι 2431
[2] πορνην 2434[c] || πολιν[?] 986,2434 (y)
[3] επεσαν || επεσον 1248,1328,1768,1865,2723 (y)
[4] φωνην || φωνων 2434,2669 (/)
[5] λεγοντας || λεγοντων 1768
[6] εαυτην || αυτην 2821
[7] επεσον 757[alt],824[alt],986,1072,1075[alt],1328,1503[alt],1637[alt],1746,1768,1864[alt],1865,2041[alt],2352[alt],2431[alt],2434,2554,2669,2723
επεσα 757,824,1075,1248,1503,1637,1864,2041,2323(2352)2431,2821 (y)
[8] ο || --- 2821
[9] οιδεν || ειδεν 824 (/)
[10] περιβεβλημενος || περιβεβλημμενος 2323 (s)
[11] βυσσινον || βυσσιν 1248 (i)
[12] τον μηρον || των μερων 1328 (s)
[13] μεσουρανηματι || μεσουρανιματι 2431
[14] και || --- 1768,2554 (/)
[15] προσκυνουντας || προσκυννουντα 757 (s)

απεκτανθησαν εν τη ῥομφαια του καθημενου επι του ἱππου, τη εξελθουση εκ του στοματος αυτου.
Και παντα τα ορνεα εχορτασθησαν εκ των σαρκων αυτων.

*[The Millennium]*

[Satan bound]

20.1 Και ειδον αγγελον καταβαινοντα εκ του ουρανου, εχοντα την κλειν της Αβυσσου και
ἁλυσιν μεγαλην επι την χειρα αυτου. 2 Και εκρατησεν τον δρακοντα, τον οφιν τον αρχαιον, ὅς
εστιν[1] διαβολος και ὁ Σατανας, ὁ πλανων την οικουμενην ὅλην, και εδησεν αυτον χιλια ετη·
3 και εβαλεν αυτον εις την Αβυσσον και εκλεισεν και εσφραγισεν επανω αυτου ἵνα μη πλανα ετι
τα εθνη αχρι τελεσθη τα χιλια ετη. Και μετα ταυτα δει αυτον λυθηναι μικρον χρονον.

[Saints reign]

4 Και ειδον θρονους, και εκαθισαν επ' αυτους, και κριμα εδοθη αυτοις, και τας ψυχας των
πεπελεκισμενων δια την μαρτυριαν Ιησου και δια τον λογον του Θεου, και οἵτινες ου
προσεκυνησαν τω Θηριω ουτε τη εικονι αυτου και ουκ ελαβον το χαραγμα επι το μετωπον[2] αυτων
και επι την χειρα αυτων. Και εζησαν και εβασιλευσαν μετα του Χριστου χιλια ετη. 5 (Και οἱ
λοιποι των νεκρων ουκ εζησαν αχρι τελεσθη τα χιλια ετη.) Αὑτη ἡ αναστασις ἡ πρωτη.
6 Μακαριος και ἅγιος ὁ εχων μερος εν τη αναστασει[3] τη πρωτη· επι τουτων ὁ δευτερος θανατος
ουκ εχει εξουσιαν, αλλ' εσονται ἱερεις του Θεου και του Χριστου, και βασιλευσουσιν μετ' αυτου
χιλια ετη.

[The final rebellion]

7 Και ὅταν τελεσθη τα χιλια ετη λυθησεται ὁ Σατανας εκ της φυλακης αυτου, 8 και
εξελευσεται πλανησαι τα εθνη τα εν ταις τεσσαρσιν[4] γωνιαις της γης, τον Γωγ και τον Μαγωγ,
συναγαγειν αυτους εις τον[5] πολεμον, ὧν ὁ αριθμος ὡς ἡ αμμος της θαλασσης. 9 Και ανεβησαν επι
το πλατος της γης και εκυκλευσαν την παρεμβολην των ἁγιων και την πολιν την ηγαπημενην.
Και κατεβη πυρ εκ του ουρανου απο του Θεου και κατεφαγεν αυτους. 10 Και ὁ Διαβολος, ὁ
πλανων αυτους, εβληθη εις την λιμνην του πυρος και θειου, ὅπου και[6] το Θηριον και ὁ
Ψευδοπροφητης.[7] Και βασανισθησονται ἡμερας και νυκτος εις τους αιωνας των αιωνων.

*[The Great White Throne]*

11 Και ειδον θρονον μεγαν λευκον και τον καθημενον επ' αυτον, οὗ απο προσωπου εφυγεν
ὁ ουρανος και ἡ γη. Και τοπος ουχ εὑρεθη αυτοις. 12 Και ειδον τους νεκρους, τους μεγαλους και
τους μικρους, ἑστωτας ενωπιον του θρονου, και βιβλια ανεωχθησαν. Και αλλο Βιβλιον ανεωχθη,
ὅ εστιν της Ζωης. Και εκριθησαν οἱ νεκροι εκ των γεγραμμενων εν τοις βιβλιοις, κατα τα εργα
αυτων. 13 Και εδωκεν ἡ θαλασσα τους εν αυτη νεκρους, και ὁ Θανατος και ὁ 'Αδης εδωκαν τους
εν αυτοις νεκρους. Και εκριθησαν ἑκαστος κατα τα εργα αυτων. 14 Και ὁ Θανατος και ὁ 'Αδης
εβληθησαν εις την λιμνην του πυρος. Οὗτος εστιν ὁ θανατος ὁ δευτερος, ἡ λιμνη του πυρος.
15 Και ει τις ουχ εὑρεθη εν τη Βιβλω της Ζωης γεγραμμενος εβληθη εις την λιμνην του πυρος.

*[New heaven, new earth]*

21.1 Και ειδον ουρανον καινον και γην καινην, ὁ γαρ πρωτος ουρανος και ἡ πρωτη γη
παρηλθεν· και ἡ θαλασσα ουκ εστιν ετι. 2 Και την πολιν την ἁγιαν, 'Ιερουσαλημ Καινην, ειδον
καταβαινουσαν απο του Θεου εκ του ουρανου, ἡτοιμασμενην ὡς νυμφην κεκοσμημενην[8] τω ανδρι
αυτης. 3 Και ηκουσα φωνης μεγαλης εκ του ουρανου λεγουσης: "Ιδου, ἡ σκηνη του Θεου μετα των
ανθρωπων, και σκηνωσει μετ' αυτων, και αυτοι λαος αυτου εσονται, και αυτος ὁ Θεος εσται μετ'
αυτων. 4 Και εξαλειψει παν δακρυον απο των οφθαλμων αυτων, και ὁ θανατος ουκ εσται ετι,
ουτε πενθος ουτε κραυγη ουτε πονος—ουκ εσται ετι,[9] ὅτι τα πρωτα απηλθον."
5 Και ειπεν ὁ καθημενος επι του θρονου, "Ιδου, καινα ποιω παντα!" Και λεγει μοι,
"Γραψον, ὅτι οὗτοι οἱ λογοι αληθινοι και πιστοι εισιν!" 6 Και ειπεν μοι: "Γεγονα[10] το Αλφα[11]

---

[1] εστιν || 1 ο 1328,1503 (y)
[2] το μετωπον || των μετωπων 1768
[3] αναστασει || ααναστασει 1637 (i) (from one line to the next)
[4] τεσσαρσιν || τεσαρσι 2431
[5] τον || --- 2821
[6] και || --- 1328,2434,2669 (y)
[7] και ο ψευδοπροφητης || --- 2723$^{c}$
[8] κεκοσμημενην || κεκοσμιμενην 824 (i) (got it right in vs 19)
[9] 1328,2434 omit ουτε πενθος ουτε κραυγη ουτε πονος ουκ εσται ετι (h)(/)
[10] γεγονα || 1 εγω 1768
[11] αλφα || α 1865,2323,2821 (/)

και το Ω, Αρχη και Τελος. Εγω τω διψωντι δωσω εκ της πηγης του ὑδατος της ζωης[1] δωρεαν.[2]
7 Ὁ νικων κληρονομησει ταυτα και εσομαι αυτω Θεος, και αυτος εσται μοι υἱος. 8 Τοις δε
δειλοις και απιστοις και ἁμαρτωλοις και εβδελυγμενοις[3] και φονευσιν και πορνοις και φαρμακοις
και ειδωλολατραις, και πασιν τοις ψευδεσιν, το μερος αυτων εν τη λιμνη τη καιομενη πυρι και
θειω, ὅ εστιν ὁ θανατος ὁ δευτερος."

*[The New Jerusalem]*

9 Και ηλθεν εἱς εκ των[4] ἑπτα αγγελων των εχοντων τας ἑπτα φιαλας γεμουσας των ἑπτα
πληγων των εσχατων, και ελαλησεν μετ' εμου λεγων, "Δευρο,[5] δειξω σοι την γυναικα την νυμφην
του Αρνιου". 10 Και απηνεγκεν με εν Πνευματι επ' ορος μεγα και ὑψηλον, και εδειξεν μοι την
πολιν την μεγαλην, την ἁγιαν Ἱερουσαλημ, καταβαινουσαν εκ του ουρανου απο του Θεου,
11 εχουσαν την δοξαν του Θεου.[6] Ὁ φωστηρ αυτης ὁμοιος λιθω τιμιωτατω, ὡς λιθω ιασπιδι
κρυσταλιζοντι,[7] 12 εχουσα τειχος μεγα και ὑψηλον, εχουσα πυλωνας δωδεκα και επι τοις πυλωσιν
αγγελους δωδεκα, και ονοματα επιγεγραμμενα, ἅ εστιν των δωδεκα φυλων των υἱων Ισραηλ·
13 απο ανατολων πυλωνες τρεις, και απο βορρα πυλωνες τρεις, και απο νοτου πυλωνες τρεις, και
απο δυσμων[8] πυλωνες τρεις. 14 Και το τειχος της πολεως εχον θεμελιους δωδεκα, και επ' αυτων
δωδεκα ονοματα των δωδεκα αποστολων του Αρνιου. 15 Και ὁ λαλων μετ' εμου ειχεν μετρον,
καλαμον χρυσουν, ἱνα μετρηση την πολιν και τους πυλωνας αυτης. 16 Και ἡ πολις τετραγωνος
κειται, και το μηκος αυτης ὁσον το πλατος. Και εμετρησεν την πολιν τω καλαμω επι σταδιους
δωδεκα χιλιαδων δωδεκα. Το μηκος και το πλατος και το ὑψος αυτης ισα εστιν. 17 Και εμετρησεν
το τειχος αυτης, ἑκατον τεσσαρακοντα τεσσαρων πηχων, μετρον[9] ανθρωπου (ὅ εστιν αγγελου).
18 Και ἠν ἡ ενδομησις του τειχους αυτης ιασπις· και ἡ πολις χρυσιον καθαρον, ὁμοιον ὑελω
καθαρω· 19 και οἱ θεμελιοι του τειχους της πολεως παντι λιθω τιμιω κεκοσμημενοι: ὁ θεμελιος ὁ
πρωτος ιασπις, ὁ δευτερος σαπφειρος, ὁ τριτος χαλκηδων, ὁ τεταρτος σμαραγδος, 20 ὁ πεμπτος
σαρδωνυξ,[10] ὁ ἑκτος σαρδιος, ὁ ἑβδομος χρυσολιθος, ὁ ογδοος βηρυλλος, ὁ ενατος τοπαζιον, ὁ
δεκατος χρυσοπρασος, ὁ ἑνδεκατος ὑακινθος,[11] ὁ δωδεκατος αμεθυσος. 21 Και οἱ δωδεκα πυλωνες
δωδεκα μαργαριται—ανα εἱς ἑκαστος των πυλωνων ἠν εξ ἑνος μαργαριτου. Και ἡ πλατεια της
πολεως χρυσιον[12] καθαρον, ὡς ὑελος διαυγης.

[Her glory]

22 Και ναον ουκ ειδον εν αυτη, ὁ γαρ Κυριος ὁ Θεος ὁ Παντοκρατωρ ναος αυτης εστιν,
και το Αρνιον. 23 Και ἡ πολις ου χρειαν εχει του ἡλιου ουδε της σεληνης ἱνα φαινωσιν εν αυτη,
ἡ γαρ δοξα του Θεου εφωτισεν αυτην, και ὁ λυχνος αυτης το Αρνιον. 24 Και περιπατησουσιν τα
εθνη δια του φωτος αυτης, και οἱ βασιλεις της γης φερουσιν την δοξαν και την τιμην αυτων εις
αυτην. 25 Και οἱ πυλωνες αυτης ου μη κλεισθωσιν ἡμερας (νυξ γαρ ουκ εσται εκει).[13] 26 Και
οισουσιν την δοξαν και την τιμην των εθνων εις αυτην. 27 Και ου μη εισελθη εις αυτην παν
κοινον και ποιουν βδελυγμα και ψευδος, ει μη οἱ γεγραμμενοι εν τω Βιβλιω της Ζωης του
Αρνιου.

[Her river]

**22**.1 Και εδειξεν μοι ποταμον καθαρον ὑδατος ζωης, λαμπρον ὡς κρυσταλον,[14]
εκπορευομενον εκ του θρονου του Θεου και του Αρνιου, 2 εν μεσω της πλατειας αυτης· και[15] του
ποταμου εντευθεν και εντευθεν[16] ξυλον ζωης ποιουν καρπους δωδεκα, κατα μηνα ἑκαστον
αποδιδους τον καρπον αυτου. Και τα φυλλα του ξυλου εις θεραπειαν των εθνων. 3 Και παν

---

[1] της ζωης || --- 2041 (s)

[2] δωρεαν || δορεαν 2431

[3] εβδελυγμενοις || εβδελλυγμενοις 2821

[4] 757 is missing from here to the end (21:9-22:21); a later hand supplied this material, based on a different family.

[5] δευρο 2723[c] || 1 και 2723

[6] 1328 omits εχουσαν την δοξαν του θεου (h)

[7] κρυσταλιζοντι || κρυσταλλιζοντι 1248,2041 (y)

[8] νοτου πυλωνες τρεις και απο δυσμων || ~ 623451 1248 (x)

[9] μετρον || μετρων 986

[10] σαρδωνυξ 824,1075,1248,1328,1503,1746,1768,1864,1865,2431,2554,2723,2821 (sp)
σαρδονυξ 986,1072,1637,2041,2323,2352,2434,2669 (y) (757 lacking)

[11] υακινθος 1865[c] || υακινθινος 1768,1865,2723 (/)

[12] χρυσιον || χρυσιαν 1248 (i)

[13] 1746 is missing from here to the end (21:26-22:21)

[14] κρυσταλον 824,986,1072,1328,1503,1768,1864[c],1865,2352,2431,2434,2554,2669,2723 (sp)
κρυσταλλον 1075,1248,1637,1864,2041,2323,2821 (y) (757,1746 lacking)

[15] 2434 is missing 22:2-3, 8-21

[16] και εντευθεν || --- 1328 (h)

καταθεμα ουκ εσται εκει, και ο θρονος του Θεου και του Αρνιου εν αυτη εσται, και οἱ δουλοι
αυτου λατρευσουσιν[1] αυτω. 4 Και οψονται το προσωπον αυτου, και το ονομα αυτου επι των
μετωπων[2] αυτων. 5 Και νυξ ουκ εσται εκει και χρειαν ουκ εχουσιν λυχνου και φωτος ἡλιου, ὁτι
Κυριος ὁ Θεος φωτιει αυτους. Και βασιλευσουσιν εις τους αιωνας των αιωνων.

[Conclusion]

**22**.6 Και λεγει μοι: "Οὑτοι οἱ λογοι πιστοι και αληθινοι. Και Κυριος ὁ Θεος των πνευματων
των προφητων απεστειλεν τον αγγελον αυτου δειξαι τοις δουλοις αυτου ἃ δει γενεσθαι εν ταχει.
7 Ιδου, ερχομαι ταχυ! Μακαριος ὁ τηρων τους λογους της προφητειας του βιβλιου τουτου."[3,4]
8 Καγω Ιωαννης, ὁ ακουων και βλεπων ταυτα, και ὁτε ηκουσα και εβλεψα, επεσον
προσκυνησαι εμπροσθεν των ποδων του αγγελου του δεικνυντος μοι ταυτα. 9 Και λεγει μοι: "Ὁρα
μη! Συνδουλος σου ειμι και των αδελφων σου των προφητων, των τηρουντων τους λογους του
βιβλιου τουτου. Τω Θεω προσκυνησον!" 10 Και λεγει μοι: "Μη σφραγισης τους λογους της
προφητειας του βιβλιου τουτου, ὁτι ὁ καιρος εγγυς εστιν. 11 Ὁ αδικων αδικησατω ετι, και ὁ
ρυπαρος ρυπαρευθητω[5] ετι, και ὁ δικαιος δικαιοσυνην ποιησατω ετι, και ὁ ἁγιος ἁγιασθητω ετι."

*[Jesus' final word]*

12 "Ιδου, ερχομαι ταχυ, και ὁ μισθος μου μετ' εμου, αποδουναι ἑκαστω ὡς το εργον εσται
αυτου. 13 Εγω το Αλφα[6] και το Ω, Αρχη και Τελος, ὁ Πρωτος και ὁ[7] Εσχατος." 14 (Μακαριοι οἱ
ποιουντες τας εντολας αυτου, ἱνα εσται ἡ εξουσια αυτων επι το ξυλον της ζωης, και τοις πυλωσιν
εισελθωσιν εις την πολιν. 15 Εξω οἱ κυνες και οἱ φαρμακοι και οἱ πορνοι και οἱ φονεις και οἱ
ειδωλολατραι, και πας φιλων και ποιων ψευδος.) 16 "Εγω Ιησους, επεμψα τον αγγελον μου
μαρτυρησαι ὑμιν ταυτα επι ταις εκκλησιαις. Εγω ειμι ἡ Ῥιζα και το Γενος Δαυιδ, ὁ Αστηρ ὁ
λαμπρος ὁ πρωινος. 17 Και το Πνευμα και ἡ νυμφη λεγουσιν, 'Ερχου!' Και ὁ ακουων ειπατω,
'Ερχου!' Και ὁ διψων ερχεσθω. Ὁ θελων, λαβετω ὑδωρ ζωης δωρεαν.

[A serious warning]

18 "Μαρτυρω εγω παντι ακουοντι τους λογους της προφητειας του βιβλιου τουτου: Εαν
τις επιθη επ' αυτα, επιθησαι επ' αυτον ὁ Θεος τας ἑπτα πληγας τας γεγραμμενας εν τω βιβλιω
τουτω! 19 Και εαν τις αφελη απο των λογων του βιβλιου της προφητειας ταυτης, αφελοι[8] ὁ Θεος
το[9] μερος αυτου απο του ξυλου της ζωης και εκ[10] της πολεως της ἁγιας, των γεγραμμενων εν τω
βιβλιω τουτω!"

*[John signs off]*

20 Λεγει ὁ μαρτυρων ταυτα, "Ναι, ερχομαι ταχυ!" Αμην! Ναι! Ερχου, Κυριε Ιησου!
21 Ἡ χαρις του Κυριου Ιησου Χριστου[11] μετα παντων των ἁγιων. Αμην.

[1] λατρευσουσιν || λατρευουσιν 1248 (x)
[2] μετωπων || μετοπων 2352,2669 (/)
[3] τουτου || --- 1328 (s)
[4] του βιβλιου τουτου || ταυτης 986
[5] ρηπαρευθητω || ρυπαρευθειτω 2821
[6] αλφα || α 986,2323,2821 (y)
[7] ο || --- 2323 (s)
[8] αφελοι || αφελη 1248 (s)
[9] το || --- 1248 (s)
[10] εκ || --- 2821
[11] χριστου || --- 2323,2821 (y)